Callimachi hymni et epigrammata. U. de Wilamowitz-...

Callimachus

CALLIMACHI

HYMNI ET EPIGRAMMATA

VDALRICVS DE WILAMOWITZ-MOELLENDORFF

RECOGNOVIT

BEROLINI
APVD WEIDMANNOS
1882.

Sammlung griechischer und lateinischer Schriftsteller

mit deutschen Anmerkungen herausgegeben von M. Haupt und H. Sauppe

A. Griechische Schriftsteller.

	M. Pf.
Aristophanes, ausgewählte Komödien. Von Th. Kock.	
1. Bd.: Wolken. 3. Aufl. M. 1.80. — 2. Bd.: Ritter. 3. Aufl.	1.80
3. Bd.: Frösche. 3. Aufl. M 1.80. — 4. Bd.: Vögel. 2. Aufl.	2.40
Arrians Anabasis. Von C. Sintenis. 1. u. 2. Bd. 2. Aufl. à	1.80
Demosthenes, ausgewählte Reden. Von A. Westermann.	
1. Bd.: Philippische Reden. 7 Aufl.	fehlt
2. Bd.: Reden vom Kranze und gegen Leptines. 5. Aufl.	fehlt.
3. Bd.: Reden gegen Aristokrates, Konon, Eubulides. 2. Aufl.	1.50
Euripides, ausgewählte Tragödien. Von F. G. Schöne, H. Köchly und Th. Barthold. 1. Bd.: Bakchen. 2. Aufl.	fehlt.
2. Bd.: Iphigenia in Taurien. 3. Aufl. M. 1.80. — 4. Bd.: Hippolytus	2.10
Herodotos. Von H. Stein. 1. Bd. 1. Heft: Buch 1. 4. Aufl.	2.25
1. Bd. 2. Heft: Buch 2. 4 Aufl. M. 1.80. — 2. Bd. 1. Heft: Buch 3. 3. Aufl. M. 1.50. — 2. Bd. 2. Heft: Buch 4. 3. Aufl.	1.50
3. Bd.: Buch 5 u. 6. 4. Aufl. M. 1.80. — 4. Bd.: Buch 7. 4. Aufl.	2.10
— 5. Bd.: Buch 8 u. 9. 4. Aufl.	2.25
Homers Odyssee. Von J. U. Faesi und W. C. Kayser.	
1. Bd. Ges. 1—8. 7. Aufl. M. 1.80 — 2. Bd. Ges. 9—16. 6. Aufl. M. 1.50. — 3. Bd. Ges. 17—24. 6. Aufl.	1.80
— Iliade. Von J. U. Faesi und F. R. Franke.	
1. Bd. Ges. 1—6. 6 Aufl. M. 1.80. — 2. Bd. Ges. 7—12. 6. Aufl.	1.80
3. Bd. Ges. 13—18. 5. Aufl. M. 1.80. — 4. Bd. Ges. 19—24. 5. Aufl.	1.80
Isokrates, ausgewählte Reden. Von R. Rauchenstein u. K. Reinhardt. Panegyrikos und Areopagitikos. 5. Aufl.	1.50
Lucians ausgewählte Schriften. Von J. Sommerbrodt.	
1. Bd.: Lucians Traum. Charon. Timon. 2. Aufl.	1.20
2. Bd.: Nigrinus. Der Hahn. Icaromenippus. 2. Aufl.	1.20
3. Bd.: Wie man Geschichte schreiben soll. Die Rednerschule. Der Fischer. Büchernarr. Ueber die Pantomimik. 2. Aufl.	2.40
Lysias, ausgew. Reden. Von R. Rauchenstein u. K. Fuhr. 1. Bd. 8. Aufl.	1.50
2. Bd. 8. Aufl.	1.20
Platons ausg. Dialoge. Von H. Sauppe. 2. Bd.: Protagoras. 3. Aufl.	1.20
Plutarch, ausgew. Biographien. Von C. Sintenis, R. Hercher u. K. Fuhr.	
1. Bd.: Aristides und Cato maior. 3. Aufl.	1.20
2. Bd.: Agis und Kleomenes. Tiberius und G. Gracchus. 4. Aufl.	1.80
3. Bd.: Themistokles und Perikles. 4. Aufl.	1.20
Sophokles. Von F. W. Schneidewin u. A. Nauck. 1. Bd. Aias. 8. Aufl.	1.50
— 2. Bd.: Oedipus Tyrannos. 8. Aufl.	1.50
3. Bd.: Oedipus auf Kolonos. 7. Aufl. M. 1.50. — 4. Bd.: Antigone. 8. Aufl. M. 1.20. — 5. Bd.: Elektra. 8. Aufl.	1.50
6. Bd.: Trachinierinnen. 5. Aufl. M. 1.50. — 7. Bd.: Philoktet. 8. Aufl.	1.50
Thukydides. Von J. Classen. 1. Bd. Buch 1. 3. Aufl.	3.—
2. Bd. Buch 2. 3. Aufl. M. 1.80. — 3. Bd. Buch 3. 2. Aufl.	2.25
4. Bd. Buch 4. 2. Aufl. M. 2.25. — 5. Bd. Buch 5. 2. Aufl.	1.80
6. Bd. Buch 6. 2. Aufl. M. 2.25. — 7. Bd. Buch 7. fehlt. — 8. Bd. Buch 8	2.25
Xenophons Anabasis. Von C. Rehdantz. 1. Bd. Buch 1—3. 5. Aufl.	1.80
— — — 2. Bd. Buch 4—7. 4. Aufl.	1.80
— Cyropädie. Von F. K. Hertlein. 1. Bd. 3. Aufl. M. 1.50. — 2. Bd. 3. Aufl.	2.25
— Memorabilien. Von L. Breitenbach. 5. Aufl.	2.25

Aeschines, Rede gegen Ktesiphon. Von A. Weidner	1.80
Aeschylos, Agamemnon. Von F. W. Schneidewin. 2. Aufl. v. O. Hense.	Im Druck.
— Perser. Von L. Schiller	1.20
Lykurg, Rede gegen Leokrates. Von A. Nicolai	—.75
Platos ausgew. Dialoge. Phaedrus. Von C. Schmelzer.	1.—
— — Symposion. Von C. Schmelzer	1.—
Plutarchs Demosthenes und Cicero. Von B. Büchsenschütz	1.20
Xenophons Hellenika. Von L. Breitenbach. 1. Bd.: Buch 1 u. 2	1.80
2. Bd.: Buch 3 u. 4. M. 2.25 — 3. Bd.: Buch 5—7	[illegible]

CALLIMACHI

HYMNI ET EPIGRAMMATA

VDALRICVS DE WILAMOWITZ-MOELLENDORFF

RECOGNOVIT

BEROLINI
APVD WEIDMANNOS
1882.

ΚΑΛΛΙΜΑΧΟΥ

ΚΥΡΗΝΑΙΟΥ ΠΟΙΗΤΟΥ

ΥΜΝΟΙ

ΒΑΤΤΙΑΔΗΝΦΙΛΟΜΩΜΙΧΙΔΗΣΕΡΜΗΣΙΑΝΑΚΤΟΙΝ
ΔΙΔΩΣΙΚΑΙΛΕΟΝΤΙΤΩΙΝΕΟΖΥΓΙ

PRAEFATIO

Otto Schneider hymnis Callimacheis recensendis per industriam et diligentiam singularem fundamentum solidum tandem substruxit; idem emendationis supellectilem comparavit absolutissimam. cum vero permulta contra archetypi fidem novanda duxisset, factum est ut haud pauca iam legantur docta licet atque exquisita tamen non Callimachea. recognitione igitur opus est quae archetypi memoriam ex apographorum sordibus facile resuscitatam in clara luce collocet: quanta fide poetae verba servata sint, ultro tum elucet. accedit quod magni libri quibus tenuia carmina hodie inclusa sunt tanto pretio constant ut in paucorum manus deveniant; quod neque sine elegantium litterarum detrimento fit neque pium est erga Callimachum, qui quid de magno libro sentiret ipse professus est. diu est ex quo haec ita esse intellexi, sed declinabam recensionis officium quod et nimis facile et parum gratum videri potest, quoniam sane laus integra paene Schneidero debetur. tandem ratio animum vicit, instante potissimum indefesso suasore Georgio Kaibelio, cui et mecum et cum Callimacho intima familiaritas est. consedimus ergo per Quinquatruum ferias, hymnos in manus sumpsimus nec prius deposuimus quam vel de singulis versiculis tantum non omnibus iudicium nostrum consensit. editoris audaciam in me recepi; tolerabo et invidiam, Apolline Callimacheo fretus, modo ne socium operae mea causa petierit.

Paucis exponenda sunt quae lecturos nosse oportet ut sciant quomodo recensionis fundamentum comparatum sit et quantum fidei mereatur.

Callimachus utrum carmina sua singillatim ediderit ut quodque componebat (sicut Theocritus fecit), an compluria singulis libellis comprehenderit (ut solent Romani poetae), non constat; quamquam illud probabilius est, siquidem grammatici haud raro singula carmina antestantur. utut est, extitit iam ante Christum natum sylloge per species et numeros digesta (ὕμνοι,

ἐπιγράμματα, ἴαμβοι, μέλη al.) cum vulgi manibus trita tum grammaticorum, inter quos eminent Theo et Epaphroditus. permulti etiam hymnorum versus in libris grammaticis etiam nunc leguntur, quorum ope pusilla quaedam menda quae archetypus librorum nostrorum contraxerat sublata sunt, multo plura apud grammaticos corrupta leguntur perditissime, ita ut manifestum fiat et optime servatos esse hymnos et in fragmentis apud solos grammaticos traditis admodum fallacem esse emendationem. redire autem archetypum nostrum ad exemplum grammaticorum cura perpolitum scholia fidem faciunt quibus instructus fuit. quae quamquam exilia neque barbarae aetatis sordibus immunia tamen continent quae et exquisitissimam referant eruditionem nec ulli loco praeter hymnorum commentario apta sint. ceterum Schneiderus nondum satis fecit scholiis edendis, cum codicum notitia plena eum deficeret. legebantur igitur et in scholis explicabantur carmina Callimachea usque ad Iustiniani aetatem; paullo post omnia perierunt. sex enim hymni, quos rara fortuna servavit, aetatem tulerunt cum in corpus hymnorum saerulo, opinor, sexto recepti essent una cum Orphei Homeri Proculi hymnis. potest fieri ut in hanc syllogam Callimacheocum hymnorum liber integer receptus sit: factum esse demonstrari non potest. nam quod apud veteres nullus versus hymnis diserte adscribitur quin in his sex carminibus redeat, infirmissimum argumentum est. potest etiam fieri ut unum alterumve carmen olim in syllogam receptum e nostro codice exciderit: certe in Homero idem accidisse liber Mosquensis probavit. videtur autem haec sylloga per plena barbariei saecula fere latuisse, neque enim e Byzantinis ullum indicare possum qui ea usus sit. tandem a. 1423 Ioannes Aurispa unicum codicem, qui librorum nostrorum archetypus est, e Graecia Venetias portavit.[1]) fuit ille minusculis litteris exaratus et prosodiacis signis distinctus, saeculi igitur xi vel potius xii. pleraque facile legebantur, sed madore aut vetustate evanuerant aliquot versus versuumque particulae in ultimis Callimachi primis Homeri carminibus. quot in quaque pagina versus fuerint Schneiderus exputare conatus est. ceterum scriba cum in Callimacho officio suo cumalatissime satisfecerit, ingens quae Ho-

1) Non fuit ullum iter quod codicum coemendorum causa in Graeciam susceptum esset magis felix. attulit Athenaei unicum codicem, Laurentianum Aeschyli Sophoclis Apollonii, Venetos Homeri (*A*), Cassii Dionis, Xenophontis (511?), Platonis (*T*?) alia. cf. van Heusde in praef. Agamemnonis Aeschyleae, Dindorf. praef. Aesch. ed. 5. Schneider Call. I p. vii. opus est ut in librorum Aurispae fata peculiariter inquiratur.

meri hymnos obsidet depravatio quin ante syllogam conditam grassata sit fieri non potest. liber ipse periit, perierunt etiam duo quae saeculo xv in Italia facta erant apographa, sed non est cur nimis hoc lugeamus. quippe utrumque apographum ex compluribus exemplis sine mora resuscitatur, neque de archetypi lectione dubitari potest nisi in paucissimis illis locis, in quibus ego apographa antestatus sum. quorum alterum (*A*) misso Homero Proculoque Orphei tantum et Callimachi hymnos (archetypi partem priorem) descripsit, atque etiam in Callimacho multa aut invenit evanida aut certe legere non potuit; omisit igitur plerumque indicata lacuna. numerosi sunt errores huic apographo proprii, rarae interpolationes. resuscitatur autem memoria eius per tria exempla, Vaticana 1691 (*a*) et 36, Marcianum 480, diligenter scripta, diligentissime a Keilio et Merkelio in Schneideri usum collata.

Alterum apographum (*E*), ex quo Callimachi cum codices plerique pendent tum editiones ante Schneiderum omnes inde a Iani Lascaris Florentina[1]), et integram syllogam hymnorum reddidit et in evanidis potissimum locis bis terque examinandis curam posuit, ita ut dubitare vix liceat quin et aetate antecesserit alterum et antecessurum fuerit auctoritate, nisi per minus accurata exempla nobis innotesceret. etenim Parisinus 2763 (*e*), antesignanus huius ordinis, contulit quidem multum ad reciperandam Callimachi manum, ubi primum a Meinekio ad recensionem advocatus est, verum a doctiore homine scriptus est, quam qui coniecturis (optimis interdum) abstineret: vel ordinem carminum licenter mutavit, reiectis in ultimum locum elegis. praeter *e* autem Schneidero interpolatissimi tantum libri satis noti fuerunt, quos ego singulos nominare non necesse habui, sed sollemni signo ϛ distinxi quidquid ab Italis vel potius Graecis per Italiam exulantibus probabiliter excogitatum inveni. ad *E* vero reciperandum accivi exemplar, cuius probitatem e tenui quam eius perceperat notitia recte

1) Lascarin eo codice usum qui hodie est Laurentianus 32, 45 Callimachi hymnos edidisse, ita ut codicis pars typographis tradita interiret, recte coniecit Schneiderus p. xl. nam in indice bibliothecae privatae Mediceae a. 1495 integer etiamtum liber nominatur n. 111 olim 53 (Piccolomini *condizioni e vicende della libr. Med. privata* p. 72). liber in Homeri hymnis magni momenti (minoris futurus collato Estensi) videri potest non ad *E* redire, sed ad tertium apographum. sed accurata disquisitione instituta didici hoc nihil referre nisi uno loco, lacuna versus 6, 24, ubi Lascaris in fine habet *ἰδέσθαι*, probis testibus tacentibus. fieri potest ut hoc ad archetypum redeat. itaque hoc nec tacere volui, nec tamen inutili ceteroquin mole adnotationem onerare.

suspicatus erat Schneiderus, codicem a Georgio Valla scriptum, deindi Alberti Pii Carpensis, nunc Estensem III E 11 (*q*) Mutinae adservatum. qui calami quidem errores continet plurimos, sed ab omni fraude immunis ac ne a correctoribus quidem pessumdatus est; nam 'altera manus' eiusdem Vallae est codicem suum iterum conferentis. itaque *q* et *e* satis accuratam apographi *E* referunt imaginem, videturque recensio in eis acquiescere posse, ea scilicet, quam ego profiteor veram esse. nam, ut taceam de exemplis singulis, ne id quidem e re futurum fuisse expertus scio, si apographorum lectiones proposuissem omnes. ubicumque igitur in propatulo erat, utrum apographorum dissentientium errasset, abieci errorem. sed archetypi vel minutissima quaeque sedulo rimatus sum, orthographica (inter quae sigma modo bis modo semel scriptum impedimento fuit), dialectica, aliquotiens etiam prosodiaca. quamquam plerumque prosodiam more solito eam posui tacitus quam ponendam ego duxi, sicuti interpunctioni nullam e codicibus fidem esse consentaneum est. ceterum nuncupare quis quid in dialecticis orthographicis prosodiacis primus novaverit praeter pauca certis de causis memorabilia nolui. odi quidquid magis editorum quam editi gratia fit.

Epigrammata cum alibi tum in Palatina Anthologia servata (in quam partim per Meleagrum eiusque compilatores, partim sub aetatem Byzantinam e libris Callimachi etiamtum superstitibus devenerunt) addi solent hymnis. quem morem secutus sum, ne ordine quidem, quamvis perverso, mutato, adscriptis Meinekii numeris. qui cum carmina recentiorum erroribus ad Callimachum relata expulisset, mihi duo tantum erant secludenda in libro Palatino perperam lemmate *τοῦ αὐτοῦ* instructa (3 = AP VII 318, quod Hegesippum VII 320 exprimit, et 36 = AP VII 454 de quo dixi Herm. XII 346). in adnotationem criticam non recepi nisi graviora, multoque etiam parcior fuissem, nisi dialecti Callimacheae ratio ab editoribus magis quam a scribis obscurata flagitasset ut quae huc facerent libri Palatini lectiones plenae exhiberentur.

Dabam Gryphiae pr. Kal. Iun.

I.

ΕΙΣ ΔΙΑ.

Ζηνὸς ἔοι τί κεν ἄλλο παρὰ σπονδῇσιν ἀείδειν
λώιον ἢ θεὸν αὐτόν, ἀεὶ μέγαν, αἰὲν ἄνακτα,
Πηλαγόνων ἐλατῆρα, δικασπόλον οὐρανίδῃσι;
πῶς καί νιν, Δικταῖον ἀείσομεν ἠὲ Λυκαῖον;
ἐν δοιῇ μάλα θυμός, ἐπεὶ γένος ἀμφήριστον.
Ζεῦ, σὲ μὲν Ἰδαίοισιν ἐν οὔρεσί φασι γενέσθαι,
Ζεῦ, σὲ δ' ἐν Ἀρκαδίῃ· πότεροι, πάτερ, ἐψεύσαντο;
„Κρῆτες ἀεὶ ψεῦσται“· καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο· σὺ δ' οὐ θάνες, ἐσσὶ γὰρ αἰεί.
ἐν δέ σε Παρρασίῃ Ῥείη τέκεν, ἧχι μάλιστα
ἔσκεν ὄρος θάμνοισι περισκεπές (ἔνθεν ὁ χῶρος
ἱερός, οὐδέ τί μιν κεχρημένον Εἰλειθυίης
ἑρπετὸν οὐδὲ γυνὴ ἐπιμίσγεται, ἀλλά ἑ Ῥείης
ὠγύγιον καλέουσι λεχώιον Ἀπιδανῆες)·
ἔνθα σ' ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων,
αὐτίκα δίζητο ῥόον ὕδατος ᾧ κε τόκοιο
λύματα χυτλώσαιτο, τεὸν δ' ἐνὶ χρῶτα λοέσσαι.
Λάδων ἀλλ' οὔπω μέγας ἔρρεεν οὐδ' Ἐρύμανθος,
λευκότατος ποταμῶν, ἔτι δ' ἄβροχος ἦεν ἅπασα
Ἀρκαδίη· μέλλεν δὲ μάλ' εὔυδρος καλέεσθαι
αὖτις· ἐπεὶ τημόσδε, Ῥέη ὅτ' ἐλύσατο μίτρην,
ἦ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς Ἰάων
ἤειρεν, πολλὰς δὲ Μέλας ὤκχησεν ἁμάξας,
πολλὰ δὲ Καρίωνος ἄνω διεροῦ περ ἐόντος
ἰλυοὺς ἐβάλοντο κινώπετα, νίσσετο δ' ἀνὴρ

---

3 *πηλαγόνων* Herodianus: *πηλογόνων* ‖ 10 *Παρνασίῃ* corr. ς

πεζὸς ὑπὲρ Κρᾶθίν τε πολύστειόν τε Μετώπην
διψαλέος· τὸ δὲ πολλὸν ὕδωρ ὑπὸ ποσσὶν ἔκειτο.
καί ῥ' ὑπ' ἀμηχανίης σχομένη φάτο πότνια Ῥείη·
'Γαῖα φίλη, τέκε καὶ σύ· τεαὶ δ' ὠδῖνες ἐλαφραί.'
εἶπε καὶ ἀντανύσασα θεὴ μέγαν ὑψόθι πῆχυν
πλῆξεν ὄρος σκήπτρῳ· τὸ δέ οἱ δίχα πουλὺ διέστη,
ἐκ δ' ἔχεεν μέγα χεῦμα· τόθι χρόα φαιδρύνασα,
ὦνα, τεὸν σπείρωσε, Νέδῃ δέ σε δῶκε κομίσσαι
κευθμὸν ἔσω Κρηταῖον, ἵνα κρύφα παιδεύοιο,
πρεσβυτάτῃ Νυμφέων (αἵ μιν τότε μαιώσαντο
πρωτίστῃ γενεῇ) μετά γε Στύγα τε Φιλύρην τε.
οὐδ' ἁλίην ἀπέτεισε θεὴ χάριν, ἀλλὰ τὸ χεῦμα
κεῖνο Νέδην ὀνόμηνε· τὸ μέν ποθι πουλὺ κατ' αὐτο
Καυκώνων πτολίεθρον, ὃ Λέπρειον πεφάτισται,
συμφέρεται Νηρῆι, παλαιότατον δέ μιν ὕδωρ
υἱωνοὶ πίνουσι Λυκαονίης ἄρκτοιο.
εὖτε Θενὰς ἀπέλειπεν ἐπὶ Κνωσσοῖο φέρουσα,
Ζεῦ πάτερ, ἡ Νύμφη σε (Θεναὶ δ' ἔσαν ἐγγύθι Κνωσοῦ),
τουτάκι τοι πέσε, δαῖμον, ἄπ' ὀμφαλός· ἔνθεν ἐκεῖνο
Ὀμφάλιον μετέπειτα πέδον καλέουσι Κύδωνες.
Ζεῦ, σὲ δὲ Κυρβάντων ἑτάραι προσεπηχύναντο
Δικταῖαι Μελίαι, σὲ δ' ἐκοίμισεν Ἀδρήστεια
λίκνῳ ἐνὶ χρυσέῳ, σὺ δ' ἐθήσαο πίονα μαζὸν
αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.
γέντο γὰρ ἐξαπιναῖα Πανακρίδος ἔργα μελίσσης
Ἰδαίοις ἐν ὄρεσσι, τά τε κλείουσι Πάνακρα.
οὖλα δὲ Κούρητές σε περὶ πρύλιν ὠρχήσαντο
τεύχεα πεπλήγοντες, ἵνα Κρόνος οὔασιν ἠχὴν
ἀσπίδος εἰσαΐοι καὶ μή σεο κουρίζοντος.
καλὰ μὲν ἠέξευ, καλὰ δ' ἔτραφες, οὐράνιε Ζεῦ.
ὀξὺ δ' ἀνήβησας, ταχινοὶ δέ τοι ἦλθον ἴουλοι.
ἀλλ' ἔτι παιδνὸς ἐὼν ἐφράσσαο πάντα τέλεια·

---

30 *θεὰ* ‖ 33 *κομίσσαι Eq*[1]: *κομίζειν Aq*[2] ‖ 36 *πρωτίστη γενεῆ*: corr. Schneider | *μετά τε*: corr. *a* ‖ 37 *ἀπέτισε* ‖ 39 *Λέπριον* ‖ 41 *γυιωνοὶ* ‖ 48 *λείχνῳ* ‖ 51 *ὄρεσσιν ἅ τε* Steph. Byz. s. v. *Πάνακρα* ‖ 53 *πεπληγότες*: corr. *ς*

τῷ τοι καὶ γνωτοὶ προτερηγενέες περ ἐόντες
οὐρανὸν οὐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
δηναιοὶ δ᾽ οὐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί·
φάντο πάλον Κρονίδῃσι διάτριχα δώματα νεῖμαι·
τίς δέ κ᾽ ἐπ᾽ οὐλύμπῳ τε καὶ ἄιδι κλῆρον ἐρύσσαι,
ὃς μάλα μὴ νενίηλος; ἐπ᾽ ἰσαίῃ γὰρ ἔοικε
πήλασθαι· τὰ δὲ τόσσον ὅσον διὰ πλεῖστον ἔχουσι.
ψευδοίμην ἀίοντος ἅ κεν πεπίθοιεν ἀκουήν.
οὔ σε θεῶν ἑσσῆνα πάλοι θέσαν, ἔργα δὲ χειρῶν,
σή τε βίη τό τε κάρτος, ὃ καὶ πέλας εἵσαο δίφρου.
θήκαο δ᾽ οἰωνῶν μέγ᾽ ὑπείροχον ἀγγελιώτην
σῶν τεράων· ἅ τ᾽ ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
εἵλεο δ᾽ αἰζηῶν ὅ τι φέρτατον· οὐ σύ γε νηῶν
ἐμπεράμους, οὐκ ἄνδρα σακέσπαλον, οὐ μὲν ἀοιδόν·
ἀλλὰ τὰ μὲν μακάρεσσιν ὀλίζοσιν αὖθι παρῆκας
ἄλλα μέλειν ἑτέροισι, σὺ δ᾽ ἐξέλεο πτολιάρχους
αὐτούς, ὧν ὑπὸ χεῖρα γεωμόρος, ὧν ἴδρις αἰχμῆς,
ὧν ἐρέτης, ὧν πάντα· τί δ᾽ οὐ κρατέοντος ὑπ᾽ ἰσχύν;
αὐτίκα χαλκῆας μὲν ὑδείομεν Ἡφαίστοιο,
τευχηστὰς δ᾽ Ἄρηος, ἐπακτῆρας δὲ Χιτώνης
Ἀρτέμιδος, Φοίβου δὲ λύρης εὖ εἰδότας οἴμους·
„ἐκ δὲ Διὸς βασιλῆες“· † ἐπεὶ Διὸς οὐδὲν ἀνάκτων
θειότερον· τῷ καί σφι τεὴν ἐκρίναο λάξιν,
δῶκας δὲ πτολίεθρα φυλασσέμεν, ἕζεο δ᾽ αὐτὸς
ἄκρῃσ᾽ ἐν πολίεσσιν, ἐπόψιος οἵ τε δίκῃσι
λαὸν ὑπὸ σκολιῇσ᾽ οἵ τ᾽ ἔμπαλιν ἰθύνουσιν·
ἐν δὲ ῥυηφενίην ἔβαλές σφισιν, ἐν δ᾽ ἅλις ὄλβον·
πᾶσι μέν, οὐ μάλα δ᾽ ἶσον. ἔοικε δὲ τεκμήρασθαι
ἡμετέρῳ μεδέοντι· περιπρὸ γὰρ εὐρὺ βέβηκεν.
ἑσπέριος κεῖνός γε τελεῖ τά κεν ἦρι νοήσῃ·
ἑσπέριος τὰ μέγιστα, τὰ μείονα δ᾽, εὖτε νοήσῃ.
οἳ δὲ τὰ μὲν πλειῶνι, τὰ δ᾽ οὐχ ἑνί, τῶν δ᾽ ἀπὸ πάμπαν

63 *οἰωνὸν*: corr. Stephanus ‖ 79 *ἐπὶ χθονὸς* conieci ‖ 81 *ἵζεο*: corr. Meineke ‖ 82 *πτολίεσσιν*: corr. ς ‖ 89 *ἠοῖ*: corr. anonymus Miscell. Observ. I 123

αὐτὸς ἄνην ἐκόλουσας, ἐνέκλασσας δὲ μενοινήν.
χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἐάων,
δῶτορ ἀπημονίης. τεὰ δ' ἔργματα τίς κεν ἀείδοι;
οὐ γένετ', οὐκ ἔσται· τίς καὶ Διὸς ἔργματ' ἀείσει;
χαῖρε, πάτερ, χαῖρ' αὖθι· δίδου δ' ἀρετήν τ' ἄφενός τε.
οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν
οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

---

90 *ἐνέκλασας* ‖ 93 *τίς κεν — ἀείσοι*: correxi

II.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Οἷον ὁ τὠπόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ,
οἷα δ' ὅλον τὸ μέλαθρον· ἑκὰς ἑκὰς ὅστις ἀλιτρός.
καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ Φοῖβος ἀράσσει·
οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοῖνιξ
ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων,
αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς οὐκ ἔτι μακρήν.
οἱ δὲ νέοι μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.

ὡπόλλων οὐ παντὶ φαείνεται, ἀλλ' ὅ τις ἐσθλός·
ὅς μιν ἴδῃ, μέγας οὗτος, ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
ὀψόμεθ', ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ' οὔποτε λιτοί.
μήτε σιωπηλὴν κίθαριν μήτ' ἄψοφον ἴχνος
τοῦ Φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος,
εἰ τελέειν μέλλουσι γάμον πολιήν τε κερεῖσθαι,
ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμείλοις.
ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκέτ' ἀεργός.

εὐφημεῖτ' ἀίοντες ἐπ' Ἀπόλλωνος ἀοιδῇ.
εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
ἢ κίθαριν ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
ὁππότ' ἰὴ παιῆον ἰὴ παιῆον ἀκούσῃ.
καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
ὅστις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐστήρικται,

---

2 *οἷο* corr. ς ‖ 7 *μακράν* ‖ 15 *θεμέθλοις*: corr. Dilthey ‖ 21 *ὁππόθ'*

μάρμαρον ἀντὶ γυναικὸς ὀιζυρόν τι χανούσης.

ἱὴ ἱὴ φθέγγεσθε· κακὸν μακάρεσσιν ἐρίζειν.
ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆι μάχοιτο·
ὅστις ἐμῷ βασιλῆι, καὶ Ἀπόλλωνι μάχοιτο.
τὸν χορὸν ὡπόλλων, ὅ τι οἱ κατὰ θυμὸν ἀείδει,
τιμήσει· δύναται γάρ, ἐπεὶ Διὶ δεξιὸς ἧσται.
οὐδ' ὁ χορὸς τὸν Φοῖβον ἐφ' ἓν μόνον ἦμαρ ἀείσει,
ἔστι γὰρ εὔυμνος· τίς ἂν οὐ ῥέα Φοῖβον ἀείδοι;
χρύσεα τὠπόλλωνι τό τ' ἐνδυτὸν ἥ τ' ἐπιπορπὶς
ἥ τε λύρη τό τ' ἄεμμα τὸ Λύκτιον ἥ τε φαρέτρη,
χρύσεα καὶ τὰ πέδιλα· πολύχρυσος γὰρ Ἀπόλλων.
καὶ δὲ πολυκτέανος· Πυθῶνί κε τεκμήραιο.
καὶ μὲν ἀεὶ καλὸς καὶ ἀεὶ νέος· οὔποτε Φοίβῳ
θηλείησ' οὐδ' ὅσσον ἐπὶ χνόος ἦλθε παρειαῖς.
αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
οὐ λίπος Ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι,
ἀλλ' αὐτὴν πανάκειαν· ἐν ἄστεϊ δ' ᾧ κεν ἐκεῖναι
πρῶκες ἔραζε πέσωσιν ἀκήρια πάντ' ἐγένοντο.
τέχνῃ δ' ἀμφιλαφὴς οὔ τις τόσον, ὅσσον Ἀπόλλων·
κεῖνος ὀιστευτὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν
(Φοίβῳ γὰρ καὶ τόξον ἐπιτρέπεται καὶ ἀοιδή),
κείνου δὲ θριαὶ καὶ μάντιες· ἐκ δέ νυ Φοίβου
ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον καὶ Νόμιον κικλήσκομεν ἐξέτι κείνου,
ἐξότ' ἐπ' Ἀμφρυσσῷ ζευγίτιδας ἔτρεφεν ἵππους
ἠιθέου ὑπ' ἔρωτι κεκαυμένος Ἀδμήτοιο.
ῥεῖά κε βουβόσιον τελέθοι πλέον, οὐδέ κεν αἶγες
δεύοιντο βρεφέων ἐπιμηλάδες ᾗσιν Ἀπόλλων
βοσκομένῃσ' ὀφθαλμὸν ἐπήγαγεν· οὐδ' ἀγάλακτες
οἴιες οὐδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὕπαρνοι,
ἡ δέ κε μουνοτόκος διδυμητόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο

---

35 *καί τε*: corr. Schneider ‖ 36 *καί κεν*: corr. *e* | *Φοίβου*: correxi ‖ 37 *θηλείαις* ‖ 48 *Ἀμβρυσσῷ A* ‖ 51 *μενεμηλάδες* v. l. in scholiis ‖ 54 *διδυμοτόκος*

ἄνθρωποι· Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
κτιζομένῃσ', αὐτὸς δὲ θεμείλια Φοῖβος ὑφαίνει.
τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
καλῇ ἐν Ὀρτυγίῃ περιηγέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὃ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
δείματο μὲν κεράεσσιν ἐδέθλια, πῆξε δὲ βωμὸν
ἐκ κεράων, κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
ὧδ' ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ
καὶ Λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ
δεξιὸς οἰκιστῆρι καὶ ὤμοσε τείχεα δώσειν
ἡμετέροις βασιλεῦσιν· ἀεὶ δ' εὔορκος Ἀπόλλων.
ὤπολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
πολλοὶ δὲ Κλάριον, πάντῃ δέ τοι οὔνομα πουλύ·
αὐτὰρ ἐγὼ Καρνεῖον· ἐμοὶ πατρώιον οὕτω.
Σπάρτη τοι, Καρνεῖε, † τόδε πρώτιστον ἕδεθλον,
δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲν ἄστυ Κυρήνης.
ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
ἤγαγε Θηραίην ἐς ἀπόκτισιν· ἐκ δέ σε Θήρης
οὖλος Ἀριστοτέλης Ἀσβυστίδι πάρθετο γαίῃ,
δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον, ἐν δὲ πόλῃι
θῆκε τελεσφορίην ἐπετήσιον, ᾗ ἐνὶ πολλοὶ
ὑστάτιον πίπτουσιν ἐπ' ἰσχίον, ὦ ἄνα, ταῦροι.
ἰὴ ἰή, Καρνεῖε πολύλλιτε, σεῖο δὲ βωμῷ
ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι τόσσα περ Ὧραι
ποικίλ' ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην,
χείματι δὲ κρόκον ἡδύν· ἀεὶ δέ τοι ἀέναον πῦρ,
οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
ἦ ῥ' ἐχάρη μέγα Φοῖβος, ὅτε ζωστῆρες Ἐνυοῦς
ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι Λιβύσσαις,
τέθμιαι εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
οἳ δ' οὔπω πηγῇσι Κύρης ἐδύναντο πελάσσαι

---

67 οἰκιστήρ: corr. Bentley ‖ 72 πολὺ πρώτιστον Meineke, τὸ δὴ πρ. Kaibel ‖ 80 βωμοί: corr. Kaibel ‖ 86 Λιβύσσης ‖ 88 πηγαῖσι Schol. Pindar. Pyth. 4, 523: πηγῆς

Δωριέες, πυκινὴν δὲ νάπαις Ἄζιλιν ἔναιον.
τοὺς μὲν ἄναξ ἴδεν αὐτός, ἑῇ δ' ἐπεδείξατο νύμφῃ
στὰς ἐπὶ Μυρτούσης κεραώδεος, ἧχι λέοντα
Ὑψηὶς κατέπεφνε βοῶν σίνιν Εὐρυπύλοιο.
οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
οὐδὲ πόλει τόσ' ἔνειμεν ὀφέλσιμα, τόσσα Κυρήνῃ,
μνωόμενος προτέρης ἁρπακτύος. οὐδὲ μὲν αὐτοὶ
Βαττιάδαι Φοίβοιο πλέον θεὸν ἄλλον ἔτεισαν.

ἰὴ ἰὴ παιῆον ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαός,
ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θήρ,
αἰνὸς ὄφις. τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ
βάλλων ὠκὺν ὀιστόν· ἐπηύτησε δὲ λαὸς
'ἰὴ ἰὴ παιῆον, ἵει βέλος, εὐθύ σε μήτηρ
γείνατ' ἀοσσητῆρα'· τὸ δ' ἐξέτι κεῖθεν ἀείδῃ.

ὁ Φθόνος Ἀπόλλωνος ἐπ' οὔατα λάθριος εἶπεν
'οὐκ ἄγαμαι τὸν ἀοιδὸν ὃς οὐδ' ὅσα πόντος ἀείδει'.
τὸν Φθόνον ὡπόλλων ποδί τ' ἤλασεν ὧδέ τ' ἔειπεν·
'Ἀσσυρίου ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
λύματα γῆς καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι μέλισσαι,
ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
πίδακος ἐξ ἱερῆς ὀλίγη λιβάς, ἄκρον ἄωτον'.

χαῖρε ἄναξ· ὁ δὲ Μῶμος, ἵν' ὁ Φθόνος, ἔνθα νέοιτο.

---

91 *κερατώδεος*: corr. Meineke ‖ 93 *ἴδε* ‖ 96 *ἔτισαν* ‖ 113 *φθόρος*: corr. ς

III.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

Ἄρτεμιν (οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι λαθέσθαι)
ὑμνέομεν, τῇ τόξα λαγωβολίαι τε μέλονται
καὶ χορὸς ἀμφιλαφὴς καὶ ἐν οὔρεσιν ἑψιάασθαι,
ἄρχμενος, ὡς ὅτε πατρὸς ἐφεζομένη γονάτεσσι
παῖς ἔτι κουρίζουσα τάδε προσέειπε γονῆα
'δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν,
καὶ πολυωνυμίην, ἵνα μή μοι Φοῖβος ἐρίζῃ.
δὸς δ' ἰοὺς καὶ τόξα — ἔα, πάτερ, οὔ σε φαρέτρην
οὐδ' αἰτέω μέγα τόξον, ἐμοὶ Κύκλωπες ὀιστοὺς
αὐτίκα τεχνήσονται, ἐμοὶ δ' εὐκαμπὲς ἄεμμα·
ἀλλὰ φαεσφορίην τε καὶ ἐς γόνυ μέχρι χιτῶνα
ζώννυσθαι λεγνωτόν, ἵν' ἄγρια θηρία καίνω.
δὸς δέ μοι ἑξήκοντα χορίτιδας Ὠκεανίνας,
πάσας εἰναέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
δὸς δέ μοι ἀμφιπόλους Ἀμνισίδας εἴκοσι νύμφας,
αἵ τέ μοι ἐνδρομίδας τε καί, ὁππότε μηκέτι λύγκας
μήτ' ἐλάφους βάλλοιμι, θοοὺς κύνας εὖ κομέοιεν,
δὸς δέ μοι οὔρεα πάντα· πόλιν δέ μοι ἥντινα νεῖμον
ἥντινα λῇς· σπαρνὸν γὰρ ὅτ' Ἄρτεμις ἄστυ κάτεισιν·
οὔρεσιν οἰκήσω, πόλεσιν δ' ἐπιμείξομαι ἀνδρῶν
μοῦνον ὅτ' ὀξείῃσιν ὑπ' ὠδίνεσσι γυναῖκες
τειρόμεναι καλέουσι βοηθόον, ᾗσί με Μοῖραι
γεινομένην τὸ πρῶτον ἐπεκλήρωσαν ἀρήγειν,
ὅττι με καὶ τίκτουσα καὶ οὐκ ἤλγησε φέρουσα

---

4 *ἀρχόμενος A*, *ἀρχόμενοι E*, syncopen restituit Blomfield ‖ 14 *εἰνατέας A*, *εἰνέτεας E*: corr. Hecker ‖ 16 *ἐνδρομίδας* Et. Flor. s. v.: *ἐνδρομάδας* ‖ 20 *ἐπιμίξομαι* ‖ 21 *ὀξείεσιν* (*-εσσιν E*, *-αισιν* vel *-εισιν A*)

μήτηρ, ἀλλ' ἀμογητὶ φίλων ἀπεθήκατο γυίων.'
ὣς ἡ παῖς εἰποῦσα γενειάδος ἤθελε πατρὸς
ἅψασθαι, πολλὰς δὲ μάτην ἐτανύσσατο χεῖρας,
μέχρις ἵνα ψαύσειε. πατὴρ δ' ἐπένευσε γελάσσας,
φῆ δὲ καταρρέζων 'ὅτε μοι τοιαῦτα θέαιναι
τίκτοιεν, τυτθόν κεν ἐγὼ ζηλήμονος Ἥρης
χωομένης ἀλέγοιμι. φέρευ, τέκος, ὅσσ' ἐθελημὸς
αἰτίζεις, καὶ δ' ἄλλα πατὴρ ἔτι μείζονα δώσει.
τρὶς δέκα τοι πτολίεθρα καὶ οὐχ ἕνα πύργον ὀπάσσω,
τρὶς δέκα τοι πτολίεθρα τὰ μὴ θεὸν ἄλλον ἀέξειν
εἴσεται ἀλλὰ μόνην σὲ καὶ Ἀρτέμιδος καλέεσθαι·
πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσασθαι
μεσσόγεως νήσους τε· καὶ ἐν πάσῃσιν ἔσονται
Ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα. καὶ μὲν ἀγυιαῖς
ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος'. ὣς ὅ μὲν εἰπὼν
μῦθον ἐπεκρήηνε καρήατι. βαῖνε δὲ κούρη
λευκὸν ἐπὶ Κρηταῖον ὄρος κεκομημένον ὕλῃ·
ἔνθεν ἐπ' Ὠκεανόν· πολέας δ' ἐπελέξατο νύμφας,
πάσας εἰναέτεας, πάσας ἔτι παῖδας ἀμίτρους.
χαῖρε δὲ Καίρατος ποταμὸς μέγα, χαῖρε δὲ Τηθύς,
οὕνεκα θυγατέρας Λητωίδι πέμπον ἀμορβούς.
　　αὖθι δὲ Κύκλωπας μετεκίαθε· τοὺς μὲν ἔτετμε
νήσῳ ἐνὶ Λιπάρῃ (Λιπάρη νέον, ἀλλὰ τότ' ἔσκεν
οὔνομά οἱ Μελιγουνίς) ἐπ' ἄκμοσιν Ἡφαίστοιο
ἑσταότας περὶ μύδρον· ἐπείγετο γὰρ μέγα ἔργον·
ἱππείην τετύκοντο Ποσειδάωνι ποτίστρην.
αἱ νύμφαι δ' ἔδδεισαν, ὅπως ἴδον αἰνὰ πέλωρα
πρηόσιν Ὀσσείοισιν ἐοικότα, πᾶσι δ' ὑπ' ὀφρὺν
φάεα μουνόγληνα σάκει ἴσα τετραβοείῳ
δεινὸν ὑπογλαύσσοντα, καὶ ὁππότε δοῦπον ἄκουσαν
ἄκμονος ἠχήσαντος ἐπὶ μέγα πουλύ τ' ἄημα
φυσάων αὐτῶν τε βαρὺν στόνον· αὖε γὰρ Αἴτνη,

29 ὅτι: corr. ς ‖ 32 καί τ' A ‖ 37 μεσόγεως: corr. ς | ἀπάσῃσι: corr. Nansius ‖ 43 εἰνέτεας: corr. Hecker ‖ 45 πέμπον Schol. Nic. Ther. 349: πέμπεν ‖ 51 ἔδεισαν A ‖ 52 Ὀσσαίοισιν Meineke | ἐοικότας: corr. ς ‖ 54 ὑπογλαύσοντα ‖ 55 ἐπεί: corr. Bentley

αὖε δὲ Τρινακίη, Σικανῶν ἕδος, αὖε δὲ γείτων
Ἰταλίη, μεγάλην δὲ βοὴν ἐπὶ Κύρνος ἀύτει,
εὖθ᾽ οἵ γε ῥαιστῆρας ἀειράμενοι ὑπὲρ ὤμων,
ἢ χαλκὸν ζείοντα καμινόθεν ἠὲ σίδηρον
ἀμβολαδὶς τετυπόντες ἐπὶ μέγα μοχθήσειαν.
τῷ σφέας οὐκ ἐτάλασσαν ἀκηδέες Ὠκεανῖναι
οὔτ᾽ ἄντην ἰδέειν οὔτε κτύπον οὔασι δέχθαι.
οὐ νέμεσις· κείνους γε καὶ αἱ μάλα μηκέτι τυτθαὶ
οὐδέποτ᾽ ἀφρικτὶ μακάρων ὁρόωσι θύγατρες.
ἀλλ᾽ ὅτε κουράων τις ἀπειθέα μητέρι τεύχοι,
μήτηρ μὲν Κύκλωπας ἑῇ ἐπὶ παιδὶ καλιστρεῖ,
Ἄργην ἢ Στερόπην· ὃ δὲ δώματος ἐκ μυχάτοιο
ἔρχεται Ἑρμείης σποδιῇ κεχριμένος αἰθῇ·
αὐτίκα τὴν κούρην μορμύσσεται, ἣ δὲ τεκούσης
δύνει ἔσω κόλπους θεμένη ἐπὶ φάεσι χεῖρας.
κοῦρα, σὺ δὲ προτέρω περ, ἔτι τριέτηρος ἐοῦσα,
εὖτ᾽ ἔμολεν Λητώ σε μετ᾽ ἀγκαλίδεσσι φέρουσα,
Ἡφαίστου καλέοντος ὅπως ὀπτήρια δοίη,
Βρόντεώ σε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης,
ὤλοψας δὲ βίηφι· τὸ δ᾽ ἄτριχον εἰσέτι καὶ νῦν
μεσσάτιον στέρνοιο μένει μέρος, ὡς ὅτε κόρσῃ
φωτὸς ἐνιδρυθεῖσα κόμην ἐπενείματ᾽ ἀλώπηξ.
τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξαο τῆμος·
'Κύκλωπες, καὶ ἐμοί τι Κυδώνιον εἰ δ᾽ ἄγε τόξον
ἠδ᾽ ἰοὺς κοίλην τε κατακλῇδα βελέμνων
τεύξατε· καὶ γὰρ ἐγὼ Λητωιὰς ὥσπερ Ἀπόλλων.
αἰ δέ κ᾽ ἐγὼ τόξοις μονιὸν δάκος ἤ τι πέλωρον
θηρίον ἀγρεύσω, τὸ δέ κεν Κύκλωπες ἔδοιεν᾽.
ἔννεπες· οἳ δ᾽ ἐτέλεσσαν· ἄφαρ δ᾽ ὡπλίσσαο, δαῖμον.
αἶψα δ᾽ ἐπὶ σκύλακας πάλιν ἤιες· ἵκεο δ᾽ αὖλιν
Ἀρκαδικὴν ἔπι Πανός. ὃ δὲ κρέα λυγκὸς ἔταμνε
Μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.

---

61 *ἐπεὶ*: corr. Stephanus | *μοχθίσειαν*: corr. ς ‖ 64 *κείνους δέ*: corr. Meineke ‖ 69 *κεχρημένος*: corr. e ‖ 70 *μορμύσεται* ‖ 78 *κόρσην*: corr. ς ‖ 81 *ἢ ἦμοι*: *κἀμοί* ς ‖ 83 *Λητοιάς* ‖ 85 *τόδε*: corr. ς

τὶν δ' ὁ γενειήτης δύο μὲν κύνας ἥμισυ πηγοὺς
τρεῖς δὲ παρουαίους ἕνα δ' αἰόλον, οἵ ῥα λέοντας
αὐτοὺς αὐερύοντες, ὅτε δράξαιντο δεράων,
εἷλκον ἔτι ζώοντας ἐπ' αὔλιον, ἑπτὰ δ' ἔδωκε
θάσσονας αὐράων Κυνοσουρίδας, αἵ ῥα διῶξαι
ὤκισται νεβρούς τε καὶ οὐ μύοντα λαγωόν,
καὶ κοίτην ἐλάφοιο καὶ ὕστριχος ἔνθα καλιαὶ
σημῆναι, καὶ ζορκὸς ἐπ' ἴχνιον ἡγήσασθαι.
ἔνθεν ἀπερχομένη (μετὰ καὶ κύνες ἐσσεύοντο)
εὗρες ἐπὶ προμολῇσ' ὄρεος τοῦ Παρρασίοιο
σκαιρούσας ἐλάφους, μέγα τι χρέος· αἳ μὲν ἐπ' ὄχθαις
αἰὲν ἐβουκολέοντο μελαμψήφιδος ἀναύρου,
μάσσονες ἢ ταῦροι, κεράων δ' ἀπελάμπετο χρυσός·
ἐξαπίνης δ' ἔταφές τε καὶ ὃν ποτὶ θυμὸν ἔειπες
'τοῦτό κεν Ἀρτέμιδος πρωτάγριον ἄξιον εἴη'.
πέντ' ἔσαν αἱ πᾶσαι· πίσυρας δ' ἕλες ὦκα θέουσα
νόσφι κυνοδρομίης, ἵνα τοι θοὸν ἅρμα φέρωσι.
τὴν δὲ μίαν Κελάδοντος ὑπὲρ ποταμοῖο φυγοῦσαν
Ἥρης ἐννεσίῃσιν, ἀέθλιον Ἡρακλῆι
ὕστερον ὄφρα γένοιτο, πάγος Κερύνειος ἔδεκτο.
Ἄρτεμι Παρθενίη, Τιτυοκτόνε, χρύσεα μέν τοι
ἔντεα καὶ ζώνη, χρύσεον δ' ἐζεύξαο δίφρον,
ἐν δ' ἐβάλευ χρύσεια, θεή, κεμάδεσσι χαλινά.
ποῦ δέ σε τὸ πρῶτον κερόεις ὄχος ἤρξατ' ἀείρειν;
Αἵμῳ ἐπὶ Θρήικι, τόθεν βορέαο καταῖξ
ἔρχεται ἀχλαίνοισι δυσαέα κρυμὸν ἄγουσα.
ποῦ δ' ἔταμες πεύκην, ἀπὸ δὲ φλογὸς ἥψαο ποίης;
Μυσῷ ἐν Οὐλύμπῳ, φάεος δ' ἐνέηκας ἀυτμὴν
ἀσβέστου, τό ῥα πατρὸς ἀποστάζουσι κεραυνοί.
ποσσάκι δ' ἀργυρέοιο, θεή, πειρήσαο τόξου;
πρῶτον ἐπὶ πτελέην, τὸ δὲ δεύτερον ἧκας ἐπὶ δρῦν,
τὸ τρίτον αὖτ' ἐπὶ θῆρα. τὸ τέτρατον οὐκέτ' ἐπὶ δρῦν,
. . . .

---

91 *παρουατίους*: corr. Haupt et Schneider ‖ 92 *αὖ ἐρύοντες* ‖ 93 *εἶλον*: corr. e ‖ 100 *ὄχθῃς* vel *ὀχθῃς* ‖ 109 *ὕστερον* Schol. Apollon. I 996: *ὕστατον* ‖ 112 *θεά* ‖ post 121 versum deesse vidit Schneider

ἀλλά μιν εἰς ἀδίκων ἔβαλες πόλιν, οἵ τε περὶ σφέας
οἵ τε περὶ ξείνους ἀλιτήμονα πολλὰ τέλεσκον,
σχέτλιοι· οἷς τύνη χαλεπὴν ἐμμάξεαι ὀργήν·
κτήνεά φιν λοιμὸς καταβόσκεται, ἔργα δὲ πάχνη,
κείρονται δὲ γέροντες ἐφ᾽ υἱάσιν, αἱ δὲ γυναῖκες
ἢ βληταὶ θνήσκουσι λεχωίδες ἠὲ φυγοῦσαι
τίκτουσιν τῶν οὐδὲν ἐπὶ σφυρὸν ὀρθὸν ἀνέστη.
οἷς δέ κεν εὐμειδής τε καὶ ἵλαος αὐγάσσηαι,
κείνοις εὖ μὲν ἄρουρα φέρει στάχυν· εὖ δὲ γενέθλη
τετραπόδων, εὖ δ᾽ ὄλβος ἀέξεται· οὐδ᾽ ἐπὶ σῆμα
ἔρχονται πλὴν εὖτε πολυχρόνιόν τι φέρωσιν·
οὐδὲ διχοστασίη τρώει γένος, ἥ τε καὶ εὖ·περ
οἴκους ἐστηῶτας ἐσίνατο· ταὶ δὲ θυωρὸν
εἰνάτερες γαλόῳ τε μίαν πέρι δίφρα τίθενται.
πότνια, τῶν εἴη μὲν ἐμοὶ φίλος ὅστις ἀληθής,
εἴην δ᾽ αὐτός, ἄνασσα, μέλοι δέ μοι αἰὲν ἀοιδή·
τῇ ἔνι μὲν Λητοῦς γάμος ἔσσεται, ἐν δὲ σὺ πολλή,
ἐν δὲ καὶ Ἀπόλλων, ἐν δ᾽ οἵ σεο πάντες ἄεθλοι,
ἐν δὲ κύνες καὶ τόξα καὶ ἄντυγες, αἵ τέ σε ῥεῖα
θηητὴν φορέουσιν, ὅτ᾽ ἐς Διὸς οἶκον ἐλαύνεις.
ἔνθα τοι ἀντιόωντες ἐνὶ προμολῇσι δέχονται
ὅπλα μὲν Ἑρμείης Ἀκακήσιος, αὐτὰρ Ἀπόλλων
θηρίον ὅττι φέρῃσθα· πάροιθέ γε, πρίν περ ἱκέσθαι
καρτερὸν Ἀλκείδην· νῦν δ᾽ οὐκέτι τοῦτον ἄεθλον
Φοῖβος ἔχει, τοῖος γὰρ ἀεὶ Τιρύνθιος ἄκμων
ἕστηκε πρὸ πυλέων, ποτιδέγμενος εἴ τι φέρουσα
νεῖαι πῖον ἔδεσμα· θεοὶ δ᾽ ἐπὶ πάντες ἐκείνῳ
ἄλληκτον γελόωσι, μάλιστα δὲ πενθερὴ αὐτή,
ταῦρον ὅτ᾽ ἐκ δίφροιο μάλα μέγαν ἢ ὅ γε χλούνην
κάπρον ὀπισθιδίοιο φέροι ποδὸς ἀσπαίροντα·
κερδαλέῳ μύθῳ σε, θεή, μάλα τῷδε πινύσκει
„βάλλε κακοὺς ἐπὶ θῆρας, ἵνα θνητοί σε βοηθὸν
ὡς ἐμὲ κικλήσκωσιν. ἔα πρόκας ἠδὲ λαγωοὺς

---

125 *λιμός*: corr. ς ‖ 128 *τῶν δ᾽*: corr. Cobet ‖ 144 *πάροιθε δέ*: corr. Blomfield ‖ 150 *ὅτε χλ.*: corr. ς ‖ 153 *θνητοῖσι*: corr. Nansius ‖ 154 *κικλήσκουσιν*: corr. ς

οὔρεα βόσκεσθαι· τί κέ μιν πρόκες ἠὲ λαγωοὶ
ῥέξειαν; σύες ἔργα, σύες φυτὰ λυμαίνονται.
καὶ βόες ἀνθρώποισι κακὸν μέγα· βάλλ' ἐπὶ καὶ τούς."
ὣς ἔνεπεν, ταχινὸς δὲ μέγαν περὶ θῆρα πονεῖτο.
οὐ γὰρ ὅ γε Φρυγίῃ περ ὑπὸ δρυὶ γυῖα θεωθεὶς
παύσατ' ἀδηφαγίης· ἔτι οἱ πάρα νηδὺς ἐκείνη,
τῇ ποτ' ἀροτριόωντι συνήντετο Θειοδάμαντι.
σοὶ δ' Ἀμνισιάδες μὲν ὑπὸ ζεύγληφι λυθείσας
ψήχουσιν κεμάδας, παρὰ δέ σφισι πουλὺ νέμεσθαι
Ἥρης ἐκ λειμῶνος ἀμησάμεναι φορέουσιν
ὠκύθοον τριπέτηλον, ὃ καὶ Διὸς ἵπποι ἔδουσιν·
ἐν καὶ χρυσείας ὑποληνίδας ἐπλήσαντο
ὕδατος, ὄφρ' ἐλάφοισι ποτὸν θυμάρμενον εἴη.
αὐτὴ δ' ἐς πατρὸς δόμον ἔρχεαι· οἳ δέ σ' ἐφ' ἕδρην
πάντες ὁμῶς καλέουσι· σὺ δ' Ἀπόλλωνι παρίζεις.
    ἡνίκα δ' αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
ἀγχόθι πηγάων Αἰγυπτίου Ἰνωποῖο
ἢ Πιτάνης (καὶ γὰρ Πιτάνη σέθεν) ἢ ἐνὶ Λίμναις,
ἢ ἵνα, δαῖμον, Ἁλὰς Ἀραφηνίδας οἰκήσουσα
ἦλθες ἀπὸ Σκυθίης, ἀπὸ δ' εἴπαο τέθμια Ταύρων,
μὴ νειὸν τημοῦτος ἐμαὶ βόες εἵνεκα μισθοῦ
τετράγυον τέμνοιεν ὑπ' ἀλλοτρίῳ ἀροτῆρι·
ἦ γάρ κεν γυιαί τε καὶ αὐχένα κεκμηυῖαι
κόπρον ἐπιπρογένοιντο, καὶ εἰ Στυμφαιίδες εἶεν
εἰναετιζόμεναι κεραελκέες, αἳ μέγ' ἄρισται
τέμνειν ὦλκα βαθεῖαν· ἐπεὶ θεὸς οὔποτ' ἐκεῖνον
ἦλθε παρ' Ἥλιος καλὸν χορόν, ἀλλὰ θεῆται
δίφρον ἐπιστήσας, τὰ δὲ φάεα μηκύνονται.
    τίς δέ νύ τοι νήσων, ποῖον δ' ὄρος εὔαδε πλεῖστον,
τίς δὲ λιμήν, ποίη δὲ πόλις; τίνα δ' ἔξοχα νυμφέων
φίλαο, καὶ ποίας ἡρωίδας ἔσχες ἑταίρας;
εἰπέ, θεή, σὺ μὲν ἄμμιν, ἐγὼ δ' ἑτέροισιν ἀείσω.
νήσων μὲν Δολίχη, πολίων δέ τοι εὔαδε Πέργη,

---

155 *τί κεν πρόκες ἠδὲ* : correxi || 165 *ὠκύθεον*: corr. e || 184 *ἔξοχον*: corr. ς || 186 *θεά*

Τηΰγετον δ' ὀρέων, λιμένες γε μὲν Εὐρίποιο.
ἔξοχα δ' ἀλλάων Γορτυνίδα φίλαο νύμφην,
ἐλλοφόνον Βριτόμαρτιν ἐΰσκοπον· ἧς ποτε Μίνως
πτοιηθεὶς ὑπ' ἔρωτι κατέδραμεν οὔρεα Κρήτης.
ἣ δ' ὁτὲ μὲν λασίῃσιν ὑπὸ δρυσὶ κρύπτετο νύμφη,
ἄλλοτε δ' εἰαμενῇσιν· ὃ δ' ἐννέα μῆνας ἐφοίτα
παίπαλά τε κρημνούς τε καὶ οὐκ ἀνέπαυσε διωκτύν,
μέσφ' ὅτε μαρπτομένη καὶ δὴ σχεδὸν ἥλατο πόντον
πρηόνος ἐξ ὑπάτοιο καὶ ἔνθορεν εἰς ἁλιήων
δίκτυα, τά σφ' ἐσάωσαν· ὅθεν μετέπειτα Κύδωνες
νύμφην μὲν Δίκτυνναν, ὄρος δ' ὅθεν ἥλατο νύμφη
Δικταῖον καλέουσιν, ἀνεστήσαντο δὲ βωμοὺς
ἱερά τε ῥέζουσι· τὸ δὲ στέφος ἤματι κείνῳ
ἢ πίτυς ἢ σχῖνος, μύρτοιο δὲ χεῖρες ἄθικτοι·
δὴ τότε γὰρ πέπλοισιν ἐνέσχετο μύρσινος ὄζος
τῆς κούρης, ὅτ' ἔφευγεν· ὅθεν μέγα χώσατο μύρτῳ.
Οὖπι ἄνασσ' εὐῶπι, φαεσφόρε, καὶ δὲ σὲ κείνην
Κρηταέες καλέουσιν ἐπωνυμίην ἀπὸ νύμφης.
καὶ μὴν Κυρήνην ἑταρίσσαο, τῇ ποτ' ἔδωκας
αὐτὴ θηρητῆρε δύω κύνε, τοῖς ἔνι κούρη
Ὑψηὶς παρὰ τύμβον Ἰώλκιον ἔμμορ' ἀέθλου.
καὶ Κεφάλου ξανθὴν ἄλοχον Δηιονίδαο,
πότνια, σὴν ὁμόθηρον ἐθήκαο· καὶ δὲ σὲ φασὶ
καλὴν Ἀντίκλειαν ἶσον φαέεσσι φιλῆσαι,
αἳ πρῶται θοὰ τόξα καὶ ἀμφ' ὤμοισι φαρέτρας
ἰοδόκους ἐφόρησαν· † ἀσύλλωτοι δέ φιν ὦμοι
δεξιτεροὶ καὶ γυμνὸς ἀεὶ παρεφαίνετο μαζός.
ᾔνησας δ' ἔτι πάγχυ ποδορρώρην Ἀταλάντην,
κούρην Ἰασίοιο συοκτόνον Ἀρκασίδαο,
καί ἑ κυνηλασίην τε καὶ εὐστοχίην ἐδίδαξας.
οὔ μιν ἐπίκλητοι Καλυδωνίου ἀγρευτῆρες
μέμφονται κάπροιο· τὰ γὰρ σημήια νίκης
Ἀρκαδίην εἰσῆλθεν, ἔχει δ' ἔτι θηρὸς ὀδόντας·
οὐδὲ μὲν Ὑλαῖόν τε καὶ ἄφρονα Ῥοῖκον ἔολπα,

---

198 *Δίκτυναν* ‖ 204 *κείνης*: correxi ‖ 213 *ἀσύλητοι* Ernesti

οὐδέ περ ἐχθαίροντας, ἐν Ἄιδι μωμήσασθαι
τοξότιν· οὐ γάρ σφιν λαγόνες συνεπιψεύσονται,
τάων Μαιναλίη νᾶεν φόνῳ ἀκρώρεια.
πότνια πουλυμέλαθρε πολύπτολι, χαῖρε Χιτώνη
Μιλήτῳ ἐπίδημε· σὲ γὰρ ποιήσατο Νηλεὺς
ἡγεμόνην, ὅτε νηυσὶν ἀνήγετο Κεκροπίηθεν.
Χησιάς, Ἰμβρασίη, πρωτόθρονε, σοὶ δ' Ἀγαμέμνων
πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ,
μείλιον ἀπλοΐης, ὅτε οἱ κατέδησας ἀήτας,
Τευκρῶν ἡνίκα νῆες Ἀχαιίδες ἄστεα κήδειν
ἔπλεον ἀμφ' Ἑλένῃ Ῥαμνουσίδι θυμωθεῖσαι.
ἦ μέν τοι Προῖτός γε δύω ἐκαθίσσατο νηούς,
ἄλλον μὲν Κορίης, ὅτι οἱ συνελέξαο κούρας
οὔρεα πλαζομένας Ἀζήνια, τὸν δ' ἐνὶ Λούσοις
Ἡμέρῃ, οὕνεκα θυμὸν ἀπ' ἄγριον εἵλεο παίδων.
σοὶ καὶ Ἀμαζονίδες πολέμου ἐπιθυμήτειραι
ἔν ποτε παρραλίῃ Ἐφέσῳ βρέτας ἱδρύσαντο
φηγῷ ὑπὸ πρέμνῳ, τέλεσεν δέ τοι ἱερὸν Ἱππώ·
αὐταὶ δ', Οὖπι ἄνασσα, περὶ πρύλιν ὠρχήσαντο
πρῶτα μὲν ἐν σακέεσσιν ἐνόπλιον, αὖθι δὲ κύκλῳ
στησάμεναι χορὸν εὐρύν· ὑπήεισαν δὲ λίγειαι
λεπταλέον σύριγγες, ἵνα πλίσσωσιν ὁμαρτῇ
(οὐ γάρ πω νέβρεια δι' ὀστέα τετρήναντο,
ἔργον Ἀθηναίης ἐλάφῳ κακόν)· ἔδραμε δ' ἠχὼ
Σάρδιας ἔς τε νομὸν Βερεκύνθιον. αἳ δὲ πόδεσσιν
οὖλα κατεκροτάλιζον, ἐπεψόφεον δὲ φαρέτραι.
κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρυθέμειλον
δῶμ' ἤρθη, τοῦ δ' οὔτι θεώτερον ὄψεται ἠὼς
οὐδ' ἀφνειότερον· ῥέα κεν Πυθῶνα παρέλθοι.
τῷ ῥα καὶ ἠλαίνων ἀλαπαξέμεν ἠπείλησε
Λύγδαμις ὑβριστής· ἐπὶ δὲ στρατὸν ἱππημολγῶν
ἤλασε Κιμμερίων, ψαμάθῳ ἴσον, οἵ ῥα παρ' αὐτὸν

---

233 Προῖτός τε *Aq* | ἐκαθήσατο *A* ἐκαθήσσατο *e* ‖ 234 conieci Κορίῃ ‖ 235 Ἀξείνια: corr. Spanheim ‖ 238 κοτε ‖ 243 πλήσωσιν *A* πλήσσωσιν *E*: corr. ς ‖ 248 sq. εὐρὺ θέμειλον δωμήθη: corr. Bergk ‖ 253 ἤλασε Et. Gud. M. s. v. ἴσος: ἤγαγε

κεκλιμένοι ναίουσι βοὸς πόρον Ἰναχιώνης.
ἆ δειλὸς βασιλέων, ὅσον ἤλιτεν· οὐ γὰρ ἔμελλεν
οὔτ᾽ αὐτὸς Σκυθίηνδε παλιμπετὲς οὔτε τις ἄλλος
ὅσσων ἐν λειμῶνι Καϋστρίῳ ἔσταν ἅμαξαι
νοστήσειν· Ἐφέσου γὰρ ἀεὶ τεὰ τόξα πρόκειται.
πότνια Μουνιχίη λιμενοσκόπε, χαῖρε Φεραίη.
μή τις ἀτιμάσσῃ τὴν Ἄρτεμιν (οὐδὲ γὰρ Οἰνεῖ
βωμὸν ἀτιμάσσαντι καλοὶ πόλιν ἦλθον ἀγῶνες),
μηδ᾽ ἐλαφηβολίην μηδ᾽ εὐστοχίην ἐριδαίνειν
(οὐδὲ γὰρ Ἀτρείδης ὀλίγῳ ἔπι κόμπασε μισθῷ),
μηδέ τινα μνᾶσθαι τὴν παρθένον (οὐδὲ γὰρ Ὦτος,
οὐδὲ μὲν Ὠαρίων ἀγαθὸν γάμον ἐμνήστευσαν),
μηδὲ χορὸν φεύγειν ἐνιαύσιον (οὐδὲ γὰρ Ἱππὼ
ἀκλαυτεὶ περὶ βωμὸν ἀπείπατο κυκλώσασθαι)·
χαῖρε, μέγα κρείουσα, καὶ εὐάντησον ἀοιδῇ.

---

259 *λιμένος σκοπέ A* et Schol. Lycophr. 1180 || 260 *ἀτιμήσῃ* || 261 *ἀτιμάσαντι* || 263 *ἐπεκόμπασε*: corr. Meineke

IV.

ΕΙΣ ΔΗΛΟΝ.

Τὴν ἱερήν, ὦ θυμέ, τίνα χρόνον εἴ ποτ' ἀείσεις
Δῆλον, Ἀπόλλωνος κουροτρόφον; ἦ μὲν ἅπασαι
Κυκλάδες, αἳ νήσων ἱερώταται εἰν ἁλὶ κεῖνται,
εὔυμνοι· Δῆλος δ' ἐθέλει τὰ πρῶτα φέρεσθαι
ἐκ Μουσέων, ὅτι Φοῖβον ἀοιδάων μεδέοντα
λοῦσέ τε καὶ σπείρωσε καὶ ὡς θεὸν ἤνεσε πρώτη.
ὡς Μοῦσαι τὸν ἀοιδὸν ὃ μὴ Πίμπλειαν ἀείσῃ
ἔχθουσιν, τὼς Φοῖβος ὅτις Δήλοιο λάθηται.
Δήλῳ νῦν οἴμης ἀποδάσσομαι, ὡς ἂν Ἀπόλλων
κα . . . . αἰνήσῃ με φίλης ἀλέγοντα τιθήνης.
κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος οἷά θ' ἁλιπλὴξ
αἰθυίαις καὶ μᾶλλον ἐπίδρομος ἠέπερ ἵπποις
πόντῳ ἐνεστήρικται· ὃ δ' ἀμφί ἑ πουλὺς ἑλίσσων
Ἰκαρίου πολλὴν ἀπομάσσεται ὕδατος ἄχνην·
τῷ σφε καὶ ἰχθυβολῆες ἁλίπλοοι ἐννάσσαντο.
ἀλλά οἱ οὐ νεμεσητὸν ἐνὶ πρώτῃσι λέγεσθαι,
ὁππότ' ἐς Ὠκεανόν τε καὶ ἐς Τιτηνίδα Τηθὺν
νῆσοι ἀολλίζονται, ἀεὶ δ' ἔξαρχος ὁδεύει.
ἡ δ' ὄπιθεν Φοίνισσα μετ' ἴχνια Κύρνος ὀπηδεῖ
οὐκ ὀνοτὴ καὶ Μάκρις Ἀβαντιὰς Ἐλλοπιήων
Σαρδώ θ' ἱμερόεσσα καὶ ἣν ἐπενήξατο Κύπρις
ἐξ ὕδατος τὰ πρῶτα, σαοῖ δέ μιν ἀντ' ἐπιβάθρων.
κεῖναι μὲν πύργοισι περισκεπέεσσιν ἐρυμναί,
Δῆλος δ' Ἀπόλλωνι· τί δὲ στιβαρώτερον ἕρκος;

---

1 *ἤ ποτ'*: corr. Reiske ‖ 5 *ἀοιδέων*: corr. ς ‖ 7 *ἀείσῃ* schol. Lycophr. 275: *ἀείσει* ‖ 10 *χάνθιον A, χαυ . . . . e, χαύριος q, χαίριον* vel *Κύνθιος* ς ‖ 12 *αἰθυίῃς* ‖ 15 *ἐννάσαντο* ‖ 19 *ὄπισθεν*

τείχεα μὲν καὶ λᾶες ὑπαὶ ῥιπῆς κε πέσοιεν
Στρυμονίου βορέαο· θεὸς δ' αἰεὶ ἀστυφέλικτος·
Δῆλε φίλη, τοῖός σε βοηθόος ἀμφιβέβηκεν.
εἰ δὲ λίην πολέες σε περιτροχόωσιν ἀοιδαί,
ποίῃ ἐνιπλέξω σε; τί τοι θυμῆρες ἀκοῦσαι;
ἢ ὡς τὰ πρώτιστα μέγας θεὸς οὔρεα θείνων
ἄορι τριγλώχινι, τό οἱ Τελχῖνες ἔτευξαν,
νήσους εἰναλίας εἰργάζετο, νέρθε δ' ἐλάσσας
ἐκ νεάτων ὤχλισσε καὶ εἰσεκύλισε θαλάσσῃ;
καὶ τὰς μὲν κατὰ βυσσόν, ἵν' ἠπείροιο λάθωνται,
πρυμνόθεν ἐρρίζωσε· σὲ δ' οὐκ ἔθλιψεν ἀνάγκη,
ἀλλ' ἄφετος πελάγεσσιν ἐπέπλεες, οὔνομα δ' ἦν σοι
Ἀστερίη τὸ παλαιόν, ἐπεὶ βαθὺν ἥλαο τάφρον
οὐρανόθεν φεύγουσα Διὸς γάμον ἀστέρι ἴση.
τόφρα μὲν οὔπω σοὶ χρυσέη ἐπεμίσγετο Λητώ,
τόφρα δ' ἔτ' Ἀστερίη σὺ καὶ οὐδέπω ἔκλεο Δῆλος.
πολλάκι σε Τροιζῆνος ἀπὸ ξάνθοιο πολίχνης
ἐρχόμενοι Ἐφύρηνδε Σαρωνικοῦ ἔνδοθι κόλπου
ναῦται ἐπεσκέψαντο, καὶ ἐξ Ἐφύρης ἀνιόντες
οἳ μὲν ἔτ' οὐκ ἴδον αὖθι, σὺ δὲ στεινοῖο παρ' ὀξὺν
ἔδραμες Εὐρίποιο πόρον καναχηδὰ ῥέοντος,
Χαλκιδικῆς δ' αὐτῆμαρ ἀνηναμένη ἁλὸς ὕδωρ
μέσφ' ἐς Ἀθηναίων προσενήξαο Σούνιον ἄκρον
ἢ Χίον, ἢ νήσοιο διάβροχον ὕδατι μαστὸν
Παρθενίης (οὔπω γὰρ ἔην Σάμος), ἧχί σε νύμφαι
γείτονος Ἀγκαίου Μυκαλησσίδες ἐξείνισσαν.
ἡνίκα δ' Ἀπόλλωνι γενέθλιον οὖδας ὑπέσχες,
τοῦτό τοι ἀντημοιβὸν ἁλίπλοοι οὔνομ' ἔθεντο,
οὕνεκεν οὐκέτ' ἄδηλος ἐπέπλεες, ἀλλ' ἐνὶ πόντου
κύμασιν Αἰγαίοιο ποδῶν ἐνεθήκαο ῥίζας.
οὐδ' Ἥρην κοτέουσαν ὑπέτρεσας· ἣ μὲν ἁπάσαις
δεινὸν ἐπεβρωμᾶτο λεχωίσιν αἳ Διὶ παῖδας

---

29 τοίῃ: corr. ς ‖ 30 ἢ ὡς Stephanus: χ' ὡς ‖ 32 δὲ πάσας: corr. Meineke ‖ 33 ὤχλισε | εἰσεκύλισσε ‖ 34 βυθὸν: corr. L. Dindorf ‖ 41 πολλάκις ἐκ: πολλάκι σ' ἐκ ς, corr. Meineke ‖ 50 Μυκαλησίδες

ἐξέφερον, Λητοῖ δὲ διακριδόν, οὕνεκα μούνη
Ζηνὶ τεκεῖν ἤμελλε φιλαίτερον Ἄρεος υἷα.
τῷ ῥα καὶ αὐτὴ μὲν σκοπιὴν ἔχεν αἰθέρος εἴσω
σπερχομένη μέγα δή τι καὶ οὐ φατόν, εἶργε δὲ Λητὼ
τειρομένην ὠδῖσι· δύω δέ οἱ εἵατο φρουροὶ
γαῖαν ἐποπτεύοντες, ὃ μὲν πέδον ἠπείροιο
ἥμενος ὑψηλῆς κορυφῆς ἔπι Θρήικος Αἵμου
θοῦρος Ἄρης ἐφύλασσε σὺν ἔντεσι, τὼ δέ οἱ ἵππω
ἑπτάμυχον βορέαο παρὰ σπέος ηὐλίζοντο·
ἣ δ᾽ ἐπὶ νησάων ἑτέρη σκοπὸς εὐρειάων
ἧστο κόρη Θαύμαντος ἐπαΐξασα Μίμαντι.
ἔνθ᾽ αἳ μὲν πολίεσσιν ὅσαις ἐπεβάλλετο Λητώ
μίμνον ἀπειλητῆρες, ἀπετρώπων δὲ δέχεσθαι.
φεῦγε μὲν Ἀρκαδίη, φεῦγεν δ᾽ ὄρος ἱερὸν Αὔγης
Παρθένιον, φεῦγεν δ᾽ ὁ γέρων μετόπισθε Φενειός.
φεῦγε δ᾽ ὅλη Πελοπηὶς ὅση παρακέκλιται Ἰσθμῷ,
ἔμπλην Αἰγιαλοῦ γε καὶ Ἄργεος· οὐ γὰρ ἐκείνας
ἀτραπιτοὺς ἐπάτησεν, ἐπεὶ λάχεν Ἴναχον Ἥρη.
φεῦγε καὶ Ἀονίη τὸν ἕνα δρόμον, αἳ δ᾽ ἐφέποντο
Δίρκη τε Στροφίη τε μελαμψήφιδος ἔχουσαι
Ἰσμηνοῦ χέρα πατρός, ὃ δ᾽ εἵπετο πολλὸν ὄπισθεν
Ἀσωπὸς βαρύγουνος, ἐπεὶ πεπάλακτο κεραυνῷ.
ἣ δ᾽ ὑποδινηθεῖσα χοροῦ ἀπεπαύσατο νύμφη
αὐτόχθων Μελίη καὶ ὑπόχλοον ἔσχε παρειὴν
ἥλικος ἀσθμαίνουσα περὶ δρυός, ὡς ἴδε χαίτην
σειομένην Ἑλικῶνος. ἐμαὶ θεαί, εἴπατε, Μοῦσαι,
ἦ ῥ᾽ ἐτεὸν ἐγένοντο τότε δρύες ἡνίκα Νύμφαι;
„Νύμφαι μὲν χαίρουσιν, ὅτε δρύας ὄμβρος ἀέξει,
Νύμφαι δ᾽ αὖ κλαίουσιν, ὅτε δρυσὶν οὐκέτι φύλλα“.
ταῖς μὲν ἔτ᾽ Ἀπόλλων ὑποκόλπιος αἰνὰ χολώθη,
φθέγξατο δ᾽ οὐκ ἀτέλεστον ἀπειλήσας ἐπὶ Θήβῃ·
'Θήβη, τίπτε τάλαινα τὸν αὐτίκα πότμον ἐλέγχεις;
μήπω μή μ᾽ ἀέκοντα βιάζεο μαντεύεσθαι.
οὔπω μοι Πυθῶνι μέλει τριποδήιος ἕδρη,

61 *δύο* ‖ 64 *ἐφύλασσε δὲ σὺν*: corr. ς ‖ 70. 71 *φεῦγε δ᾽* | *Φεναιός*: corr. Arnaldus ‖ 73 *τε καὶ*: correxi

οὐδέ τί πω τέθνηκεν ὄφις μέγας, ἀλλ' ἔτι κεῖνο
θηρίον αἰνογένειον ἀπὸ Πλειστοῖο παρέρπον
Παρνησὸν νιφόεντα περιστέφει ἐννέα κύκλοις·
ἀλλ' ἔμπης ἐρέω τι τορώτερον ἢ ἀπὸ δάφνης.
φεῦγε πρόσω· ταχινός σε κιχήσομαι αἵματι λούσων
τόξον ἐμόν· σὺ δὲ τέκνα κακογλώσσοιο γυναικὸς
ἔλλαχες. οὐ σύ γ' ἐμεῖο φίλη τροφὸς οὐδὲ Κιθαιρὼν
ἔσσεται· εὐαγέων δὲ καὶ εὐαγέεσσι μελοίμην'.
ὣς ἄρ' ἔφη. Λητὼ δὲ μετάτροπος αὖθις ἐχώρει.
ἀλλ' ὅτ' Ἀχαιιάδες μιν ἀπηρνήσαντο πόληες
ἐρχομένην, Ἑλίκη τε Ποσειδάωνος ἑταίρη
Βοῦρά τε Δεξαμενοῖο βοόστασις Οἰνιάδαο,
ἄψ δ' ἐπὶ Θεσσαλίην πόδας ἔτρεπε, φεῦγε δ' Ἄναυρος
καὶ μεγάλη Λάρισα καὶ αἱ Χειρωνίδες ἄκραι,
φεῦγε δὲ καὶ Πηνειὸς ἑλισσόμενος διὰ Τεμπέων·
Ἥρη, σοὶ δ' ἔτι τῆμος ἀνηλεὲς ἦτορ ἔκειτο
οὐδὲ κατεκλάσθης τε καὶ ᾤκτισας, ἡνίκα πήχεις
ἀμφοτέρους ὀρέγουσα μάτην ἐφθέγξατο τοῖα
'Νύμφαι Θεσσαλίδες, ποταμοῦ γένος, εἴπατε πατρὶ
κοιμῆσαι μέγα χεῦμα· περιπλέξασθε γενείων
λισσόμεναι τὰ Ζηνὸς ἐν ὕδατι τέκνα τεκέσθαι.
Πηνειὲ Φθιῶτα, τί νῦν ἀνέμοισιν ἐρίζεις;
ὦ πάτερ, οὐ μὴν ἵππον ἀέθλιον ἀμφιβέβηκας.
ἦ ῥά τοι ὧδ' αἰεὶ ταχινοὶ πόδες; ἢ ἐπ' ἐμεῖο
μοῦνοι ἐλαφρίζουσι, πεποίησαι δὲ πέτεσθαι
σήμερον ἐξαπίνης;' ὁ δ' ἀνήκοος. 'ὦ ἐμὸν ἄχθος,
ποῖ σε φέρω; μέλεοι γὰρ ἀπειρήκασι τένοντες.
Πήλιον ὦ Φιλύρης νυμφήιον, ἀλλὰ σὺ μεῖνον,
μεῖνον, ἐπεὶ καὶ θῆρες ἐν οὔρεσι πολλάκι σεῖο
ὠμοτόκους ὠδῖνας ἀπηρείσαντο λέαιναι.'
τὴν δ' ἄρα καὶ Πηνειὸς ἀμείβετο δάκρυα λείβων
'Λητοῖ, Ἀναγκαίη μεγάλη θεός. οὐ γὰρ ἔγωγε,

---

92 *καθέρπον*: corr. Meineke ‖ 94 *τομώτερον*: corr. Th. Canter ‖ 100 *πόλιες*: corr. ς ‖ 104 *λάρης A*, *λάρις E*: corr. ς ‖ 110 *γενείῳ*: corr. Schneider

πότνια, σὰς ὠδῖνας ἀναίνομαι (οἶδα καὶ ἄλλας
λουσαμένας ἀπ' ἐμεῖο λεχωίδας)· ἀλλά μοι Ἥρη
δαψιλὲς ἠπείλησεν. ἀπαύγασαι, οἷος ἔφεδρος
οὔρεος ἐξ ὑπάτου σκοπιὴν ἔχει, ὅς κέ με ῥεῖα
βυσσόθεν ἐξερύσειε. τί μήσομαι; ἦ ἀπολέσθαι
ἡδύ τί τοι Πηνειόν; ἴτω πεπρωμένον ἦμαρ·
τλήσομαι εἵνεκα σεῖο καὶ εἰ μέλλοιμι ῥοάων
διψαλέην ἄμπωτιν ἔχων αἰώνιον ἔρρειν
καὶ μόνος ἐν ποταμοῖσιν ἀτιμότατος καλέεσθαι.
ἠνίδ' ἐγώ· τί περισσά; κάλει μόνον Εἰλείθυιαν.'
εἶπε καὶ ἠρώησε μέγαν ῥόον. ἀλλά οἱ Ἄρης
Παγγαίου προθέλυμνα καρήατα μέλλεν ἀείρας
ἐμβαλέειν δίνῃσιν, ἀποκρύψειν δὲ ῥέεθρα·
ὑψόθε δ' ἐσμαράγησε καὶ ἀσπίδα τύψεν ἀκωκῇ
δούρατος· ἣ δ' ἐλέλιξεν ἐνόπλιον· ἔτρεμε δ' Ὄσσης
οὔρεα καὶ πεδίον Κραννώνιον αἵ τε δυσαεῖς
ἐσχατιαὶ Πίνδοιο, φόβῳ δ' ὠρχήσατο πᾶσα
Θεσσαλίη· τοῖος γὰρ ἀπ' ἀσπίδος ἔβραμεν ἦχος.
ὡς δ' ὁπότ' Αἰτναίου ὄρεος πυρὶ τυφομένοιο
σείονται μυχὰ πάντα κατουδαίοιο γίγαντος
εἰς ἑτέρην Βριαρῆος ἐπωμίδα κινυμένοιο,
θερμάστραι τε βρέμουσιν ὑφ' Ἡφαίστοιο πυράγραις
ἔργα θ' ὁμοῦ, δεινὸν δὲ πυρίκμητοί τε λέβητες
καὶ τρίποδες πίπτοντες ἐπ' ἀλλήλοις ἰαχεῦσι·
τῆμος ἔγεντ' ἄραβος σάκεος τόσος εὐκύκλοιο·
Πηνειὸς δ' οὐκ αὖθις ἐχάζετο, μίμνε δ' ὁμοίως
καρτερὸς ὡς τὰ πρῶτα, θοὰς δ' ἐστήσατο δίνας,
εἰσότε οἱ Κοιηὶς ἐκέκλετο 'σῴζεο χαίρων,
σῴζεο· μὴ σύ γ' ἐμεῖο πάθῃς κακὸν εἵνεκα τῆσδε
ἀντ' ἐλεημοσύνης, χάριτος δέ τοι ἔσσετ' ἀμοιβή'.
ἦ καὶ πολλὰ πάροιθεν ἐπεὶ κάμεν ἔστιχε νήσους
εἰναλίας· αἳ δ' οὔ μιν ἐπερχομένην ἐδέχοντο,

126 *ὑπάτοιο*: corr. ς ‖ 130 *διψαλέον* A et q ante correctorem ‖ 132 *Εἰλήθυιαν* ‖ 135 *ἀποκρύψαι*: corr. Stephanus ‖ 138 *κραινώνιον*: *κρανώνιον* ς ‖ 144 *θερμαύστραι*: corr. Blomfield | *πυράγρης*: *πυράγρης* Meineke ‖ 150 *εἰσόκε* ‖ 154 *εἰναλίδας*: corr. ς

οὐ λιπαρὸν νήεσσιν Ἐχινάδες ὅρμον ἔχουσαι,
οὐδ' ἥτις Κέρκυρα φιλοξεινωτάτη ἀλλέων,
Ἶρις ἐπεὶ πάσῃσιν ἐφ' ὑψηλοῖο Μίμαντος
σπερχομένη μάλα πολλὸν ἀπέτραπεν· αἳ δ' ὑπ' ὁμοκλῆς
πανσυδίῃ φοβέοντο κατὰ ῥόον ἥντινα τέτμοι.
Ὠγυγίην δήπειτα Κόων, Μεροπηίδα νῆσον,
ἵκετο, Χαλκιόπης ἱερὸν μυχὸν ἡρωίνης.
ἀλλά ἑ παιδὸς ἔρυκεν ἔπος τόδε· 'μὴ σύ γε, μῆτερ,
τῇ με τέκοις. οὐ τὴν ἐπιμέμφομαι οὐδὲ μεγαίρω
νῆσον, ἐπεὶ λιπαρή τε καὶ εὔβοτος, εἴ νύ τις ἄλλη·
ἀλλά οἱ ἐκ μοιρέων τις ὀφειλόμενος θεὸς ἄλλος
ἐστί, Σαωτήρων ὕπατον γένος· ᾧ ὑπὸ μίτρην
ἵξεται οὐκ ἀέκουσα Μακηδόνι κοιρανέεσθαι
ἀμφοτέρη μεσόγεια καὶ αἳ πελάγεσσι κάθηνται,
μέχρις ὅπου περάτη τε καὶ ὁππόθεν ὠκέες ἵπποι
Ἠέλιον φορέουσιν· ὃ δ' εἴσεται ἤθεα πατρός.
καί νύ ποτε ξυνός τις ἐλεύσεται ἄμμιν ἄεθλος
ὕστερον, ὁππότ' ἂν οἳ μὲν ἐφ' Ἑλλήνεσσι μάχαιραν
βαρβαρικὴν καὶ Κελτὸν ἀναστήσαντες Ἄρηα
ὀψίγονοι Τιτῆνες ἀφ' ἑσπέρου ἐσχατόωντος
ῥώσωνται νιφάδεσσιν ἐοικότες ἢ ἰσάριθμοι
τείρεσιν, ἡνίκα πλεῖστα κατ' ἠέρα βουκολέονται,
φρούρια καὶ . . . .
καὶ πεδία Κρισσαῖα, καὶ ἤπειροι . . . . .
ἀμφιπεριστείνωνται, ἴδωσι δὲ πίονα καπνὸν
γείτονος αἰθομένοιο, καὶ οὐκέτι μοῦνον ἀκουῇ,
ἀλλ' ἤδη περὶ νηὸν ἀπαυγάζωνται † φάλαγγες
δυσμενέων, ἤδη δὲ παρὰ τριπόδεσσιν ἐμεῖο
φάσγανα καὶ ζωστῆρας ἀναιδέας ἐχθομένας τε
ἀσπίδας, αἳ Γαλάτῃσι κακὴν ὁδὸν ἄφρονι φύλῳ
στήσονται· τέων αἳ μὲν ἐμοὶ γέρας, αἳ δ' ἐπὶ Νείλῳ
ἐν πυρὶ τοὺς φορέοντας ἀποπνεύσαντας ἰδοῦσαι

156 *ἄλλων* corr. I. H. Voss ‖ 159 *κατάρροον* ‖ 163 *οὔτ' οὖν*: correxi ‖ 173 *Ἄρην*: corr. ς ‖ 175 *ῥώσονται*: corr. ς ‖ 178 *ἢ Πλειστοῖο χαράδρῃ* Meineke ‖ 179 *ἀμφιπεριστείνονται*: corr. Stephanus | *καρπὸν*: corr. Reiske ‖ 181 *ἀπαυγάζοιντο*: correxi | conieci *ἁμάξας*

κείσονται βασιλῆος ἀέθλια πολλὰ καμόντος
ἐσσόμεναι. Πτολεμαῖε, τά τοι μαντήια φαίνω.
αἰνήσεις μέγα δή τι τὸν εἰσέτι γαστέρι μάντιν
ὕστερον ἤματα πάντα· σὺ δὲ ξυμβάλλεο μῆτερ·
ἔστι διειδομένη τις ἐν ὕδατι νῆσος ἀραιή,
πλαζομένη πελάγεσσι· πόδες δέ οἱ οὐχ ἑνὶ χώρῳ,
ἀλλὰ παλιρροίῃ ἐπινήχεται ἀνθέρικος ὥς,
ἔνθα νότος, ἔνθ᾽ εὖρος, ὅπῃ φορέῃσι θάλασσα.
τῇ με φέροις· κείνην γὰρ ἐλεύσεαι εἰς ἐθέλουσαν.᾽
αἳ μὲν τόσσα λέγοντος ἀπέτρεχον εἰν ἁλὶ νῆσοι·
Ἀστερίη φιλόμολπε, σὺ δ᾽ Εὐβοίηθε κατῄεις,
Κυκλάδας ὀψομένη περιηγέας, οὔ τι παλαιόν,
ἀλλ᾽ ἔτι τοι μετόπισθε Γεραίστιον εἵπετο φῦκος·
. . . .
. . . . φλεξας ἐπεὶ περικαίεο πυρί,
τλήμον᾽ ὑπ᾽ ὠδίνεσσι βαρυνομένην ὁρόωσα·
‛Ἥρη, τοῦτό με ῥέξον ὅ τοι φίλον· οὐ γὰρ ἀπειλὰς
ὑμετέρας ἐφύλαξα· πέρα, πέρα εἰς ἐμέ, Λητοῖ᾽.
ἔννεπες· ἡ δ᾽ ἀρητὸν ἄλης ἀπεπαύσατο λυγρῆς,
ἕζετο δ᾽ Ἰνωποῖο παρὰ ῥόον, ὅντε βάθιστον
γαῖα τότ᾽ ἐξανίησιν, ὅτε πλήθοντι ῥεέθρῳ
Νεῖλος ἀπὸ κρημνοῖο κατέρχεται Αἰθιοπῆος·
λύσατο δὲ ζώνην, ἀπὸ δ᾽ ἐκλίθη ἔμπαλιν ὤμοις
φοίνικος ποτὶ πρέμνον ἀμηχανίης ὑπὸ λυγρῆς
τειρομένη· νότιος δὲ διὰ χροὸς ἔρρεεν ἱδρώς.
εἶπε δ᾽ ἀλυσθμαίνουσα ‛τί μητέρα, κοῦρε, βαρύνεις;
αὕτη τοι, φίλε, νῆσος ἐπιπλώουσα θαλάσσῃ.
γείνεο, γείνεο, κοῦρε, καὶ ἤπιος ἔξιθι κόλπου᾽.
νύμφα Διὸς βαρύθυμε, σὺ δ᾽ οὐκ ἄρ᾽ ἔμελλες ἄπυστος
δὴν ἔμεναι· τοίη σε προσέδραμεν ἀγγελιῶτις,
εἶπε δ᾽ ἔτ᾽ ἀσθμαίνουσα, φόβῳ δ᾽ ἀνεμίσγετο μῦθος,
‛Ἥρη τιμήεσσα, πολὺ προὔχουσα θεάων
σὴ μὲν ἐγώ, σὰ δὲ πάντα, σὺ δὲ κρείουσα κάθησαι

---

188 *ἐσσόμενε* ‖ 195 *εἰσεθέλουσα*: corr. ς ‖ 201 *περ. κηρί* Th. Canter
205 *ἄρητον*: corr. Dilthey ‖ 206 *παραρρόον*

γνησίη Οὐλύμποιο, καὶ οὐ χέρα δείδιμεν ἄλλην
θηλυτέρην, σὺ δ', ἄνασσα, τὸν αἴτιον εἴσεαι ὀργῆς.
Λητώ τοι μίτρην ἀναλύεται ἔνδοθι νήσου.
ἄλλαι μὲν πᾶσαί μιν ἀπέστυγον οὐδ' ἐδέχοντο·
Ἀστερίη δ' ὀνομαστὶ παρερχομένην ἐκάλεσσεν,
Ἀστερίη, πόντοιο κακὸν σάρον· οἶσθα καὶ αὐτή.
ἀλλὰ φίλη, δύνασαι γάρ, ἀμύνειν, πότνια, δούλοις
ὑμετέροις, οἳ σεῖο πέδον πατέουσιν ἐφετμῇ.'
ἦ καὶ ὑπὸ χρύσειον ἐδέθλιον ἷζε κύων ὥς,
Ἀρτέμιδος ἥτις τε, θοῆς ὅτε παύσεται ἄγρης,
ἵζει θηρήτειρα παρ' ἴχνεσιν, οὔατα δ' αὐτῆς
ὀρθὰ μάλ', αἰὲν ἑτοῖμα θεῆς ὑποδέχθαι ὀμοκλήν·
τῇ ἰκέλη Θαύμαντος ὑπὸ θρόνον ἵζετο κούρη.
κείνη δ' οὐδέποτε σφετέρης ἐπιλήθεται ἕδρης,
οὐδ' ὅτε οἱ ληθαῖον ἐπὶ πτερὸν ὕπνος ἐρείσῃ,
ἀλλ' αὐτοῦ μεγάλοιο ποτὶ γλωχῖνα θρόνοιο
τυτθὸν ἀποκλίνασα καρήατα λέχριος εὕδει.
οὐδέ ποτε ζώνην ἀναλύεται οὐδὲ ταχείας
ἐνδρομίδας, μή οἵ τι καὶ αἰφνίδιον ἔπος εἴπῃ
δεσπότις. ἣ δ' ἀλεγεινὸν ἀλαστήσασα προσηύδα
'οὕτω νῦν, ὦ Ζηνὸς ὀνείδεα, καὶ γαμέοισθε
λάθρια καὶ τίκτοιτε κεκρυμμένα, μηδ' ὅθι δειλαὶ
δυστοκέες μογέουσιν ἀλετρίδες, ἀλλ' ὅθι φῶκαι
εἰνάλιαι τίκτουσιν, ἐνὶ σπιλάδεσσιν ἐρήμοις.
Ἀστερίῃ δ' οὐδέν τι βαρύνομαι εἵνεκα τῆσδε
ἀμπλακίης, οὐδ' ἔστιν ὅπως ἀποθύμια ῥέξω·
τόσσα δέω· μάλα γάρ τε κακῶς ἐχαρίσσατο Λητοῖ·
ἀλλά μιν ἔκπαγλόν τι σεβίζομαι, οὕνεκ' ἐμεῖο
δέμνιον οὐκ ἐπάτησε, Διὸς δ' ἀνθείλετο πόντον'.
ἣ μὲν ἔφη· κύκνοι δὲ θεοῦ μέλποντες ἄοζοι
Μηόνιον Πακτωλὸν ἐκυκλώσαντο λιπόντες
ἑβδομάκις περὶ Δῆλον (ἐπήεισαν δὲ λοχείῃ
Μουσάων ὄρνιθες, ἀοιδότατοι πετεηνῶν)·
ἔνθεν ὁ παῖς τοσσάσδε λύρῃ ἐνεδήσατο χορδὰς

234 ἐρείσει: corr. Schneider ‖ 246 δέω Reiske: δέ οἱ ‖ 248 ἀνθέλλετο: corr. ς ‖ 249 ἀοιδοί: corr. Meineke

ὕστερον, ὁσσάκι κύκνοι ἐπ' ὠδίνεσσιν ἄεισαν.
ὄγδοον οὐκέτ' ἄεισαν, ὃ δ' ἔκθορεν, αἳ δ' ἐπὶ μακρὸν
νύμφαι Δηλιάδες, ποταμοῦ γένος ἀρχαίοιο,
εἶπαν Ἐλειθυίης ἱερὸν μέλος, αὐτίκα δ' αἰθὴρ
χάλκεος ἀντήχησε διαπρυσίην ὀλολυγήν,
οὐδ' Ηρη νεμέσησεν, ἐπεὶ χόλον ἐξέλετο Ζεύς.
χρύσεά τοι τότε πάντα θεμείλια γείνετο, Δῆλε,
χρυσῷ δὲ τροχόεσσα πανήμερος ἔρρεε λίμνη,
χρύσειον δ' ἐκόμησε γενέθλιον ἔρνος ἐλαίης,
χρυσῷ δ' ἐπλήμμυρε βαθὺς Ἰνωπὸς ἑλιχθείς.
αὐτὴ δὲ χρυσέοιο ἀπ' οὔδεος εἵλεο παῖδα,
ἐν δ' ἐβάλευ κόλποισιν, ἔπος δ' ἐφθέγξαο τοῖον
'ὦ μῆτερ πολύβωμε πολύπτολι πολλὰ φέρουσα,
πίονες ἤπειροί τε καὶ αἳ περιναίετε νῆσοι·
αὕτη ἐγὼ τοιήδε· δυσήροτος, ἀλλ' ἀπ' ἐμεῖο
Δήλιος Ἀπόλλων κεκλήσεται, οὐδέ τις ἄλλη
γαιάων τοσσόνδε θεῷ πεφιλήσεται ἄλλῳ·
οὐ Κερχνὶς κρείοντι Ποσειδάωνι Λεχαίου,
οὐ πάγος Ἑρμείῃ Κυλλήνιος, οὐ Διὶ Κρήτη,
ὡς ἐγὼ Ἀπόλλωνι· καὶ ἔσσομαι οὐκέτι πλαγκτή'.
ὧδε σὺ μὲν κατέλεξας· ὃ δὲ γλυκὺν ἔσπασε μαζόν.
τῷ καὶ νησάων ἁγιωτάτη ἐξέτι κείνου
κλήζῃ, Ἀπόλλωνος κουροτρόφος· οὐδέ σ' Ἐνυὼ
οὐδ' Ἀίδης οὐδ' ἵπποι ἐπιστείβουσιν Ἄρηος·
ἀλλά τοι ἀμφιετεῖς δεκατηφόροι αἰὲν ἀπαρχαὶ
πέμπονται, πᾶσαι δὲ χοροὺς ἀνάγουσι πόληες,
αἵ τε πρὸς ἠοίην αἵ θ' ἕσπερον αἵ τ' ἀνὰ μέσσην
κλήρους ἐκτήσαντο, καὶ οἳ καθύπερθε βορείης
οἰκία θινὸς ἔχουσι, πολυχρονιώτατον αἷμα.
οἳ μέν τοι καλάμην τε καὶ ἱερὰ δράγματα πρῶτοι
ἀσταχύων φορέουσιν· ἃ Δωδώνηθι Πελασγοὶ

---

255 *ἄεισαν* e: *ἔβησαν* q, *ἤεισαν* ς, om. *A* ‖ 262 *ἐκόμισσε E* ‖ 263 *δὲ πλήμυρε* ‖ 266 *μῆτερ* scripsi: *μεγάλε A*, *μεγάλη E*; *πρὸς τὴν γῆν λέγει πᾶσαν* schol. ‖ 268 *αὐτὴ*: corr. Reiske ‖ 271 *Λεχαίῳ*: corr. Hemsterhusius ‖ 281 *ἑστήσαντο*: corr. Dobree ‖ 284 *Δωδώνηθε*: corr. anonymus apud Graevium

τηλόθεν ἐκβαίνοντα πολὺ πρώτιστα δέχονται,
γηλεχέες Θεράποντες ἀσιγήτοιο λέβητος·
δεύτερον Ἱερὸν ἄστυ καὶ οὔρεα Μηλίδος αἴης
ἔρχονται· κεῖθεν δὲ διαπλώουσιν Ἀβάντων
εἰς ἀγαθὸν πεδίον Ληλάντιον· οὐδ' ἔτι μακρὸς
ὁ πλόος Εὐβοίηθεν, ἐπεὶ σέο γείτονες ὅρμοι.
πρῶταί τοι τάδ' ἔνεικαν ἀπὸ ξανθῶν Ἀριμασπῶν
Οὖπίς τε Λοξώ τε καὶ εὐαίων Ἑκαέργη,
θυγατέρες Βορέαο, καὶ ἄρσενες οἳ τότ' ἄριστοι
ἠιθέων· οὐδ' οἵ γε παλιμπετὲς οἴκαδ' ἵκοντο·
εὔμοιροι δ' ἐγένοντο, καὶ ἀκλέες οὔποτ' ἐκεῖνοι.
ἦ τοι Δηλιάδες μέν, ὅτ' εὐήχης ὑμέναιος
ἤθεα κουράων μορμύσσεται, ἥλικα χαίτην
παρθενικαῖς, παῖδες δὲ θέρος τὸ πρῶτον ἰούλων
ἄρσενες ἠιθέοισιν ἀπαρχόμενοι φορέουσιν.
Ἀστερίη θυόεσσα, σὲ μὲν περί τ' ἀμφί τε νῆσοι
κύκλον ἐποιήσαντο καὶ ὡς χορὸν ἀμφεβάλοντο·
οὐδὲ σιωπηλὴν οὔτ' ἄψοφον οὖλος ἐθείραις
Ἕσπερος, ἀλλ' αἰεί σε καταβλέπει ἀμφιβόητον.
οἳ μὲν ὑπαείδουσι νόμον Λυκίοιο γέροντος,
ὅν τοι ἀπὸ Ξάνθοιο θεοπρόπος ἤγαγεν Ὠλήν·
αἳ δὲ ποδὶ πλήσσουσι χορίτιδες ἀσφαλὲς οὖδας.
δὴ τότε καὶ στεφάνοισι βαρύνεται ἱρὸν ἄγαλμα
Κύπριδος Ἀρχαίης ἀριήκοον, ἥν ποτε Θησεὺς
εἵσατο σὺν παίδεσσιν, ὅτε Κρήτηθεν ἀνέπλει.
οἳ χαλεπὸν μύκημα καὶ ἄγριον υἷα φυγόντες
Πασιφάης καὶ γναμπτὸν ἕδος σκολιοῦ λαβυρίνθου,
πότνια, σὸν περὶ βωμὸν ἐγειρομένου κιθαρισμοῦ
κύκλιον ὠρχήσαντο, χοροῦ δ' ἡγήσατο Θησεύς.
ἔνθεν ἀειζώοντα θεωρίδος ἱερὰ Φοίβῳ
Κεκροπίδαι πέμπουσι, τοπήια νηὸς ἐκείνης.
Ἀστερίη πολύβωμε πολύλλιτε, τίς δέ σε ναύτης
ἔμπορος Αἰγαίοιο παρήλυθε νηὶ θεούσῃ;

---

298 παρθενικαί: corr. *e* ‖ 302 οὔτε σιωπ.: correxi ‖ 306 ποδιὸν *A*, ποδὸν *e* ‖ 307 ἱερὸν

οὐχ οὕτω μεγάλοι μιν ἐπιπνείουσιν ἀῆται,
χρειὼ δ' ὅττι τάχιστον ἄγει πλόον, ἀλλὰ τὰ λαίφη
ὠκέες ἐστείλαντο, καὶ οὐ πάλιν αὖτις ἔβησαν,
πρὶν κεραὸν σέο βωμὸν ὑπὸ πληγῇσιν ἑλίξαι
ῥησσόμενον, καὶ πρέμνον ὀδακτάσαι ἁγνὸν ἐλαίης
χεῖρας ἀποστρέψαντας· ἃ Δηλιὰς εὕρετο νύμφη
παίγνια κουρίζοντι καὶ Ἀπόλλωνι γελαστύν.
  ἱστίη ὦ νήσων εὐέστιε, χαῖρε μὲν αὐτή,
χαίροι δ' Ἀπόλλων τε καὶ ἣν ἐλοχεύσαο Λητώ.

---

320 *αὖθις* ‖ 321 *κεραόν* scripsi: *μέγαν ἢ* ‖ 326 *ἐλοχεύσατο*: correxi

V.

ΕΙΣ ΛΟΥΤΡΑ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.

Ὅσσαι λωτροχόοι τᾶς Παλλάδος, ἔξιτε πᾶσαι,
ἔξιτε· τᾶν ἵππων ἄρτι φρυασσομενᾶν
τᾶν ἱερᾶν ἐσάκουσα, καὶ ἁ θεὸς εὔτυκος ἕρπειν·
σοῦσθέ νυν, ὦ ξανθαί, σοῦσθε, Πελασγιάδες.
οὔ ποκ' Ἀθαναία μεγάλως ἀπενίψατο πάχεις
πρὶν κόνιν ἱππειᾶν ἐξελάσαι λαγόνων,
οὐδ' ὅκα δὴ λύθρῳ πεπαλαγμένα πάντα φέροισα
τεύχεα τῶν ἀδίκων ἦνθ' ἀπὸ Γηγενέων,
ἀλλὰ πολὺ πράτιστον ὑφ' ἅρματος αὐχένας ἵππων
λυσαμένα παγαῖς ἔκλυσεν Ὠκεανῶ
ἱδρῶ καὶ ῥαθάμιγγας, ἐφοίβασεν δὲ παγέντα
πάντα χαλινοφάγων ἀφρὸν ἀπὸ στομάτων.
ὦ ἴτ' Ἀχαιιάδες, καὶ μὴ μύρα μηδ' ἀλαβάστρως
(συρίγγων αἴω φθόγγον ὑπαξονίων),
μὴ μύρα, λωτροχόοι, τᾷ Παλλάδι μηδ' ἀλαβάστρως
(οὐ γὰρ Ἀθαναία χρίματα μεικτὰ φιλεῖ)
οἴσετε μηδὲ κάτοπτρον· ἀεὶ καλὸν ὄμμα τὸ τήνας,
οὐδ' ὅκα τὰν Ἴδᾳ Φρὺξ ἐδίκαζεν ἔριν,
οὔτ' ἐς ὀρείχαλκον μεγάλα θεὸς οὔτε Σιμοῦντος
ἔβλεψεν δίναν ἐς διαφαινομέναν·
οὐδ' Ἥρα· Κύπρις δὲ διαυγέα χαλκὸν ἑλοῖσα
πολλάκι τὰν αὐτὰν δὶς μετέθηκε κόμαν·
ἁ δέ, δὶς ἑξήκοντα διαθρέξασα διαύλως,
οἷα παρ' Εὐρώτᾳ τοὶ Λακεδαιμόνιοι

---

3 *ἕρπει*: *ἕρπεν* Schneider ‖ 5 *ποτ' Ἀθηναία* ‖ 7 *φέρουσα* ‖ 14 *ὑπαξόνιον eq*[1] ‖ 16 *Ἀθηναία E* | *μικτά* ‖ 18 *ἴδαν*: corr. Bentley ‖ 19 *οὐδ'* — *οὐδέ*: corr. Meineke ‖ 20 *διαφαινομένην* ‖ 21 *Ἥρη* ‖ 24 *οἷάπερ Aq*

ἀστέρες, ἐμπεράμως ἐνετρίψατο λιτὰ λαβοῖσα
χρίματα, τᾶς ἰδίας ἔκγονα φυταλιᾶς·
ὦ κῶραι, τὸ δ' ἔρευθος ἀνέδραμε, πρώιον οἵαν
ἢ ῥόδον ἢ σίβδας κόκκος ἔχει χροΐαν.
τῷ καὶ νῦν ἄρσεν τι κομίξατε μῶνον ἔλαιον,
ᾧ Κάστωρ, ᾧ καὶ χρίεται Ἡρακλέης·
οἴσετε καὶ κτένα οἱ παγχρύσεον, ὡς ἀπὸ χαίταν
πέξηται λιπαρὸν σμασαμένα πλόκαμον.

ἔξιθ', Ἀθαναία· πάρα τοι καταθύμιος ἴλα,
παρθενικαὶ μεγάλων παῖδες Ἀρεστοριδᾶν·
ὠθάνα, φέρεται δὲ καὶ ἁ Διομήδεος ἀσπίς,
ὡς ἔθος Ἀργείων τοῦτο παλαιότερον·
. . . .
. . . .
Εὐμήδης ἐδίδαξε, τεὶν κεχαρισμένος ἱρεύς·
ὅς ποκα βωλευτὸν γνοὺς ἐπί οἱ θάνατον
δᾶμον ἑτοιμάζοντα φυγᾷ τεὸν ἱρὸν ἄγαλμα
ᾤχετ' ἔχων, Κρεῖον δ' εἰς ὄρος ᾠκίσατο·
Κρεῖον ὄρος· σὲ δέ, δαῖμον, ἀπορρώγεσσιν ἔθηκεν
ἐν πέτραις, αἷς νῦν οὔνομα Παλλατίδες.

ἔξιθ', Ἀθαναία περσέπτολι χρυσεοπήληξ,
ἵππων καὶ σακέων ἁδομένα πατάγῳ.
σάμερον ὑδροφόροι μὴ βάπτετε — σάμερον Ἄργος
πίνετ' ἀπὸ κρανᾶν μηδ' ἀπὸ τῶ ποταμῶ.
σ΄μερον αἱ δῶλαι τὰς κάλπιδας ἢ 'ς Φυσάδειαν,
ἢ ἐς Ἀμυμώναν οἴσετε τὰν Δαναῶ.
καὶ γὰρ δὴ χρυσῷ τε καὶ ἄνθεσιν ὕδατα μείξας
ἥξει φορβαίων Ἴναχος ἐξ ὀρέων
τὠθάνᾳ τὸ λοετρὸν ἄγων καλόν. ἀλλά, Πελασγέ,

---

25 *ἐτρίψατο*: corr. Meineke | *βαλοῖσα E* ‖ 27 *κόραι* | *οἷον*: corr. ς ‖ 28 *σίβδης* | *χροίην* ‖ 29 *ἄρσεν τε*: corr. Bergk | *κομίσσατε μοῦνον* ‖ 34 *Ἀχεστοριδᾶν*: corr. Valckenaer ‖ post 36 lacunam significavi ‖ 38 *ποτὲ βουλευτὸν* ‖ 46 *τῶν ποτάμων*: corr. Hecker ‖ 48 *Ἀμυμώνην* ‖ 49 *ὕδατι*: corr. ς | *μίξας*

φράζεο μὴ οὐκ ἐθέλων τὰν βασίλειαν ἴδῃς.
ὅς κεν ἴδῃ γυμνὰν τὰν Παλλάδα τὰν πολιᾶχον,
τὦργος ἐσοψεῖται τοῦτο πανυστάτιον.
πότνι' Ἀθαναία, τὺ μὲν ἔξιθι· μέσφα δ' ἐγώ τι
ταῖσδ' ἐρέω. μῦθος δ' οὐκ ἐμός, ἀλλ' ἑτέρων.

παῖδες, Ἀθαναία νύμφαν μίαν ἔν ποκα Θήβαις
πουλύ τι καὶ πέρι δὴ φίλατο τᾶν ἑταρᾶν,
ματέρα Τειρεσίαο, καὶ οὔποκα χωρὶς ἔγεντο·
ἀλλὰ καὶ ἀρχαίων εὖτ' ἐπὶ Θεσπιέων
ἢ ἐπὶ Κορσείας ἢ εἰς Ἁλίαρτον ἐλαύνοι
ἵππως, Βοιωτῶν ἔργα διερχομένα,
ἢ 'πὶ Κορωνείας, ἵνα οἱ τεθυωμένον ἄλσος
καὶ βωμοὶ ποταμῷ κεῖντ' ἐπὶ Κουραλίῳ·
πολλάκις ἁ δαίμων νιν ἑῶ ἐπεβάσατο δίφρω,
οὐδ' ὄαροι νυμφᾶν οὐδὲ χοροστασίαι
ἁδεῖαι τελέθεσκον, ὅκ' οὐχ ἁγοῖτο Χαρικλώ·
ἀλλ' ἔτι καὶ τήναν δάκρυα πόλλ' ἔμενε,
καίπερ Ἀθαναίᾳ καταθύμιον ἔσσαν ἑταίραν.
δή ποκα γὰρ πέπλων λυσαμένα περόνας,
ἱππείῳ κράνᾳ Ἑλικωνίδι καλὰ ῥεοίσᾳ
λῶντο· μεσαμβρινὰ δ' εἶχ' ὄρος ἁσυχία.
ἀμφότεραι λώοντο, μεσαμβριναὶ δ' ἔσαν ὧραι,
πολλὰ δ' ἁσυχία τῆνο κατεῖχεν ὄρος.
Τειρεσίας δ' ἔτι μῶνος ἁμᾶ κυσὶν ἄρτι γένεια
περκάζων ἱερὸν χῶρον ἀνεστρέφετο·
διψάσας δ' ἄφατόν τι ποτὶ ῥόον ἤλυθε κράνας,
σχέτλιος· οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θέμιτα·
τὸν δὲ χολωσαμένα περ ὅμως προσέφασεν Ἀθάνα
'τίς σε, τὸν ὀφθαλμὼς οὐκέτ' ἀποισόμενον,
ὦ Εὐηρείδα, χαλεπὰν ὁδὸν ἄγαγε δαίμων;'
ἃ μὲν ἔφα, παιδὸς δ' ὄμματα νὺξ ἔλαβεν.

---

53 *πολιοῦχον* ‖ 55 *σὺ* ‖ 61 *ἢ 'πὶ Κορωνείας*: correxi ‖ 62 *ἵππους* ‖ 65 *μιν* ‖ 67 *ὅθ'* | *ἀγεῖτο*: corr. ς ‖ 70 *ποτε Aς, τότε E* | *λυσσαμένα* ‖ 71 *ἱππείῳ* Kaibel: *ἵππω ἐπί* ‖ 75 *μοῦνος* ‖ 77 *ποτὶρρόον* ‖ 98 *θεμι–*: corr. ς (om. *Aq*, *θεμιτά eς*, *θέμιδες ς*) ‖ 81 *χαλεπὴν* ‖ 82 *ἔβαλεν*: corr. ς

ἑστάκη δ' ἄφθογγος, ἐκόλλασαν γὰρ ἀνῖαι
    γώνατα, καὶ φωνὰν ἔσχεν ἀμηχανία.
ἁ νύμφα δ' ἐβόασε 'τί μοι τὸν κῶρον ἔρεξας,
    πότνια; τοιαῦται, δαίμονες, ἐστὲ φίλαι;
ὄμματά μοι τῶ παιδὸς ἀφείλεο. τέκνον ἄλαστε,
    εἶδες Ἀθαναίας στήθεα καὶ λαγόνας,
ἀλλ' οὐκ ἀέλιον πάλιν ὄψεαι. ὢ ἐμὲ δειλάν,
    ὢ ὄρος, ὢ Ἑλικὼν οὐκέτι μοι παριτέ,
ἦ μεγάλ' ἀντ' ὀλίγων ἐπράξαο· δόρκας ὀλέσσας
    καὶ πρόκας οὐ πολλὰς φάεα παιδὸς ἔχεις.'
εἶπε μὲν ἀμφοτέραισι φίλον περὶ παῖδα λαβοῖσα
    μάτηρ καὶ γοερᾶν οἶτον ἀηδονίδων
ἆγε βαρὺ κλαίοισα, θεὰ δ' ἐλέησεν ἑταίραν
    καί νιν Ἀθαναία πρὸς τόδ' ἔλεξεν ἔπος
'δῖα γύναι, μετὰ πάντα βαλεῦ πάλιν ὅσσα δι' ὀργὰν
    εἶπας· ἐγὼ δ' οὔ τοι τέκνον ἔθηκ' ἀλαόν.
οὐ γὰρ Ἀθαναίᾳ γλυκερὸν πέλει ὄμματα παίδων
    ἁρπάζειν· Κρόνιοι δ' ὧδε λέγοντι νόμοι·
ὅς κε τιν' ἀθανάτων, ὅκα μὴ θεὸς αὐτὸς ἕληται,
    ἀθρήσῃ, μισθῶ τοῦτον ἰδεῖν μεγάλω.
δῖα γύναι, τὸ κεν οὐ παλινάγρετον αὖθι γένοιτο
    ἔργον· ἐπεὶ μοιρᾶν ὧδ' ἐπένησε λίνα,
ἁνίκα τὸ πρᾶτόν νιν ἐγείναο· νῦν δὲ κομίζευ,
    ὦ Εὐηρείδα, τέλθος ὀφειλόμενον.
πόσσα μὲν ἁ Καδμηὶς ἐς ὕστερον ἔμπυρα καυσεῖ,
    πόσσα δ' Ἀρισταῖος, τὸν μόνον εὐχόμενοι
παῖδα, τὸν ἡβατὰν Ἀκταίονα, τυφλὸν ἰδέσθαι.
    καὶ τῆνος μεγάλας σύνδρομος Ἀρτέμιδος
ἐσσεῖτ'· ἀλλ' οὐκ αὐτὸν ὅ τε δρόμος αἵ τ' ἐν ὄρεσσι
    ῥυσεῦνται ξυναὶ τᾶμος ἑκαβολίαι,

---

83 *ἑστάθη*: corr. Buttmann. ‖ 85 *ἐβόησε* ‖ 87 *τοῦ* | *ἀφείλετο*: corr. *ς* ‖ 93 *ἁ μὲν ἀμφ.*: *εἶπε καὶ ἀμφ.* Blomfield | *λαβοῦσα* ‖ 94 *καὶ* scripsi: *μὲν* | *γοερῶν* ‖ 96 *μιν* ‖ 99 *Ἀθηναίᾳ E* ‖ 103 *κεν* Meineke: *μὲν* ‖ 104 *ἐπένευσε*: corr. Spanheim ‖ 105 *ἡνίκα* | *πρῶτον* | *κομίζου* ‖ 107. 108 *π.σσα* (om. *A*, *πᾶσσα* et *πάσσα q*, *πᾶσα* et *πολλά e*, *πόσσα ς*) ‖ 109 *ἁβατὰν Ἀκταίωνα* ‖ 111 *ἔσσεται*: correxi ‖ 112 *ἐκηβολίαι*

ὁππόκα κοὐκ ἐθέλων περ ἴδῃ χαρίεντα λοετρὰ
δαίμονος· ἀλλ' αὐταὶ τὸν πρὶν ἄνακτα κύνες
τουτάκι δειπνησεῦντι· τὰ δ' υἱέος ὀστέα μάτηρ
λεξεῖται δρυμὼς πάντας ἐπερχομένα·
ὀλβιστὰν ἐρέει σε καὶ εὐαίωνα γενέσθαι,
ἐξ ὀρέων ἀλαὸν παῖδ' ἀποδεξαμέναν.
ὦ ἑτάρα, τῷ μή τι μινύρεο· τῷδε γὰρ ἄλλα
τεῦ χάριν ἐξ ἐμέθεν πολλὰ μενεῦντι γέρα.
μάντιν ἐπεὶ θησῶ νιν ἀοίδιμον ἐσσομένοισιν,
ἦ μέγα τῶν ἄλλων δή τι περισσότερον,
γνωσεῖται δ' ὄρνιχας, ὃς αἴσιος οἵ τε πέτονται
ἤλιθα καὶ ποίων οὐκ ἀγαθαὶ πτέρυγες.
πολλὰ δὲ Βοιωτοῖσι θεοπρόπα, πολλὰ δὲ Κάδμῳ
χρησεῖ, καὶ μεγάλοις ὕστερα Λαβδακίδαις.
δωσῶ καὶ μέγα βάκτρον, ὅ οἱ πόδας ἐς δέον ἀξεῖ,
δωσῶ καὶ βιότω τέρμα πολυχρόνιον.
καὶ μόνος, εὖτε θάνῃ, πεπνυμένος ἐν νεκύεσσι
φοιτασεῖ, μεγάλῳ τίμιος Ἁγεσίλᾳ.'
ὣς φαμένα κατένευσε· τὸ δ' ἐντελές ᾧ κ' ἔπι νεύσῃ
Παλλάς, ἐπεὶ μώνᾳ Ζεὺς τόγε θυγατέρων
δῶκεν Ἀθαναίᾳ, πατρώια πάντα φέρεσθαι,
λωτροχόοι, μάτηρ δ' οὔτις ἔτικτε θεάν,
ἀλλὰ Διὸς κορυφά. κορυφὰ Διὸς οὐκ ἐπινεύει
ψεύδε'· ἀλαθεύει καὶ Διὸς ἁ θυγάτηρ.

ἔρχετ' Ἀθαναία νῦν ἀτρεκές· ἀλλὰ δέχεσθε
τὰν θεόν, ὦ κῶραι, τὦργον ὅσαις μέλεται,
σύν τ' εὐαγορίᾳ σύν τ' εὔγμασι σύν τ' ὀλολυγαῖς.
χαῖρε θεά, κάδευ δ' Ἄργεος Ἰναχίω.
χαῖρε καὶ ἐξελάοισα, καὶ ἐς πάλιν αὖτις ἐλάσσαις
ἵππως, καὶ Δαναῶν κλᾶρον ἅπαντα σάω.

---

113 *ὁππόταν οὐκ*: correxi ‖ 117 *ὀλβίσταν*: corr. Buttmann ‖ 118 *ὑποδεξ.* corr. Meineke ‖ 121 *ἐσομένοισιν* ‖ 123 *ὄρνιθας* ‖ 128 tantum *πολυχρόνιον Ae* | *βιότου* ‖ 131 *ἐπινεύσῃ*: distinxi ‖ 136 *ψευ – θυγάτηρ*: supplevit Meineke ‖ 137 *ἔρχεται Ἀθ.* ‖ 138 *τὦργος*: corr. Boissonade ‖ 142 *ἵππους*

VI.

ΕΙΣ ΔΗΜΗΤΡΑ.

Τῶ καλάθω κατιόντος ἐπιφθέγξασθε, γυναῖκες
‛Δάματερ, μέγα χαῖρε, πολύτροφε πουλυμέδιμνε’.
τὸν κάλαθον κατιόντα χαμαὶ θασεῖσθε, βέβαλοι,
μηδ’ ἀπὸ τῶ τέγεος μηδ’ ὑψόθεν αὐγάσσησθε
μὴ παῖς μηδὲ γυνὰ μηδ’ ἃ κατεχεύατο χαίταν,
μηδ’ ὄκ’ ἀφ’ αὑαλέων στομάτων πτύωμες ἄπαστοι.
Ἕσπερος ἐκ νεφέων ἐσκέψατο (πανίκα νεῖται;)
Ἕσπερος, ὅστε πιεῖν Δαμάτερα μῶνος ἔπεισεν,
ἁρπαγίμας ὄκ’ ἄπυστα μετέστιχεν ἴχνια κώρας.
πότνια, πῶς σε δύναντο πόδες φέρεν ἔστ’ ἐπὶ δυθμάς,
ἔστ’ ἐπὶ τὼς μέλανας καὶ ὅπα τὰ χρύσεα μᾶλα;
οὐ πίες οὔτ’ ἄρ’ ἔδες τῆνον χρόνον, οὐδὲ λοέσσα.
τρὶς μὲν δὴ διέβας Ἀχελώιον ἀργυροδίναν,
τοσσάκι δ’ ἀενάων ποταμῶν ἐπέρασας ἕκαστον,
τρὶς δ’ ἐπὶ καλλι . . . .
αὐσταλέα ἄποτός τε καὶ οὐ φάγες οὐδὲ λοέσσα.
μὴ μὴ ταῦτα λέγωμες ἃ δάκρυον ἄγαγε Δηοῖ·
κάλλιον, ὡς πολίεσσιν ἑαδότα τέθμια δῶκε·
κάλλιον, ὡς καλάμαν τε καὶ ἱερὰ δράγματα πρᾶτα
ἀσταχύων ἀπέκοψε καὶ ἐν βόας ἧκε πατῆσαι,
ἁνίκα Τριπτόλεμος ἀγαθὰν ἐδιδάσκετο τέχναν·
κάλλιον, ὡς (ἵνα καί τις ὑπερβασίας ἀλέηται)

---

4 *τοῦ* ‖ 9 *ὅτ’* ‖ 11 *τοὺς* ‖ 12 *λοε* *A*, *λοέσσω* *E* (*q* ex silentio meo) ‖ 13 *διέβας* periit, supplevit *ς* | *ἀργυροδίνην* ‖ 15 schol. *Καλλίχορον φρέαρ ἐκαλεῖτο ἐν Ἐλευσῖνι* ‖ 16 *λοέσσω* *ες* ‖ 17 *ἤγαγε* ‖ 18 *πτολίεσσιν* | *ἑα-* ceteris omissis *Aq* ‖ 19 *καλάμην* ‖ 22 *ὑπερβα-* *A*, *ὑπερ-* *q*, sed idem scholion habet: *τὸ ἑξῆς κάλλιον τὰ δράγματα ἔδειν* (i. e. *ᾄδειν*) *ἵνα καί τις ὑπερβασίας ἀλέηται*

π . . . .
οὔπω τὰν Κνιδίαν, ἔτι Δώτιον ἱρὸν ἔναιον,
τᾷ δ' αὐτᾷ καλὸν ἄλσος ἐποιήσαντο Πελασγοὶ
δένδρεσιν ἀμφιλαφές· διά κεν μόλις ἦνθεν ὀιστός·
ἐν πίτυς, ἐν μεγάλαι πτελέαι ἔσαν, ἐν δὲ καὶ ὄχναι,
ἐν δὲ καλὰ γλυκύμαλα· τὸ δ' ὥστ' ἀλέκτρινον ὕδωρ
ἐξ ἀμαρᾶν ἀνέθυε. θεὰ δ' ἐπεμαίνετο χώρῳ
ὅσσον Ἐλευσῖνι, Δρυόπᾳ ὅσον, ὁκκόσον Ἕννᾳ.
ἀλλ' ὅκα Τριοπίδαισιν ὁ δεξιὸς ἄχθετο δαίμων,
τουτάκις ἁ χείρων Ἐρυσίχθονος ἅψατο βωλά·
σεύατ' ἔχων θεράποντας ἐείκοσι, πάντας ἐν ἀκμᾷ,
πάντας δ' ἀνδρογίγαντας ὅλαν πόλιν ἀρκίος ἆραι,
ἀμφότερον πελέκεσσι καὶ ἀξίναισιν ὁπλίσσας
ἐς δὲ τὸ τᾶς Δάματρος ἀναιδέες ἔδραμον ἄλσος.
ἦς δέ τις αἴγειρος, μέγα δένδρεον αἰθέρι κῦρον
τῷ ἔπι ταὶ νύμφαι ποτὶ τὤνδιον ἑψιόωντο,
ἃ πράτα πλαγεῖσα κακὸν μέλος ἴαχεν ἄλλαις.
αἴσθετο Δαμάτηρ ὅτι οἱ ξύλον ἱερὸν ἄλγει,
εἶπε δὲ χωσαμένα 'τίς μοι καλὰ δένδρεα κόπτει;'
αὐτίκα Νικίππᾳ, τὰν οἱ πόλις ἀράτειραν
δαμοσίαν ἔστασαν, ἐείσατο, γέντο δὲ χειρὶ
στέμματα καὶ μάκωνα, κατωμαδίαν δ' ἔχε κλαΐδα.
φᾶ δὲ παραψύχοισα κακὸν καὶ ἀναιδέα φῶτα
'τέκνον, ὅτις τὰ θεοῖσιν ἀνειμένα δένδρεα κόπτεις,
τέκνον, ἐλίνυσον, τέκνον πολύθεστε τοκεῦσι,
παύεο καὶ θεράποντας ἀπότρεπε, μή τι χαλεφθῇ
πότνια Δαμάτηρ, τᾶς ἱερὸν ἐκκεραΐζεις'.
τὰν δ' ἄρ' ὑποβλέψας χαλεπώτερον ἠὲ κυναγὸν
ὤρεσιν ἐν Τμαρίοισιν ὑποβλέπει ἄνδρα λέαινα
ὠμοτόκος, τᾶς φαντὶ πέλειν βλοσυρώτατον ὄμμα,
'χάζευ' ἔφα 'μή τοι πέλεκυν μέγαν ἐν χροῒ παξῶ.

---

23 *π-* om. *E* cf. praef. p. 7 ‖ 25 *τὶν δ'*: correxi ‖ 26 *ηλθεν* ‖ 30 *Δρυόπᾳ* scripsi: *Τριόπαι δ' A*, *Τριόπαι θ' E* ‖ 34 *ἄρχιος*: corr. Reiske ‖ 35 *ἀξίνῃσιν* ‖ 37 *ἦν* ‖ 38 *τῷ δ' ἔπι*: corr. Schneider ‖ 40 *ᾔσθετο* | *ἀλγεῖ*: corr. Meineke ‖ 41 *χωσαμένη* ‖ 42 *Νικίππῃ* | *ἀρήτειραν* ‖ 43 *δημοσίαν* ‖ 44 *κατωμαδίην*

ταῦτα δ' ἐμὸν θησεῖ στεγανὸν δόμον, ᾧ ἔνι δαῖτας
αἰὲν ἐμοῖς ἑτάροισιν ἅδην θυμαρέας ἀξῶ.'
εἶπεν ὁ παῖς, Νέμεσις δὲ κακὰν ἐγράψατο φωνάν.
Δαμάτηρ δ' ἄφατόν τι κοτέσσατο, εἴσατο δ' ἁ θεύς·
ἴθματα μὲν χέρσω, κεφαλὰ δέ οἱ ἅψατ' Ὀλύμπω.
οἳ μὲν ἄρ' ἡμιθνῆτες, ἐπεὶ τὰν πότνιαν εἶδον,
ἐξαπίνας ἀπόρουσαν ἐνὶ δρυσὶ χαλκὸν ἀφέντες.
ἃ δ' ἄλλως μὲν ἔασεν, ἀναγκαίᾳ γὰρ ἕποντο
δεσποτικὰν ὑπὸ χεῖρα, βαρὺν δ' ἀπαμείψατ' ἄνακτα
'ναὶ ναί, τεύχεο δῶμα, κύον, κύον, ᾧ ἔνι δαῖτας
ποιησεῖς· θαμιναὶ γὰρ ἐς ὕστερον εἰλαπίναι τοι.'
ἃ μὲν τόσσ' εἰποῖσ' Ἐρυσίχθονι τεῦχε πονηρά.
αὐτίκα οἱ χαλεπόν τε καὶ ἄγριον ἔμβαλε λιμὸν
αἴθωνα κρατερόν, μεγάλᾳ δ' ἐστρεύγετο νούσῳ.
σχέτλιος, ὅσσα πάσαιτο τόσων ἔχεν ἵμερος αὖτις.
εἴκατι δαῖτα πένοντο, δυώδεκα δ' οἶνον ἄφυσσον·
τόσσα Διώνυσον γὰρ ἃ καὶ Δάματρα χαλέπτει·
καὶ τῷ γὰρ Δάματρι συνωργίσθη Διόνυσος.
οὔτε νιν εἰς ἐράνως οὔτε ξυνδείπνια πέμπον
αἰδόμενοι γονέες, προχανὰ δ' εὑρίσκετο πᾶσα.
ἦνθον Ἰτωνιάδος νιν Ἀθαναίας ἐπ' ἄεθλα
Ὀρμενίδαι καλέοντες· ἀπ' ὦν ἀρνήσατο μάτηρ
'οὐκ ἔνδοι, χθιζὸς γὰρ ἐπὶ Κραννῶνα βέβακε
τέλθος ἀπαιτησῶν ἑκατὸν βόας.' ἦνθε Πολυξώ,
μάτηρ Ἀκτορίωνος, ἐπεὶ γάμον ἄρτυε παιδί,
ἀμφότερον Τριόπαν τε καὶ υἱέα κικλήσκοισα.
τὰν δὲ γυνὰ βαρύθυμος ἀμείβετο δακρυχέοισα,
'νεῖταί τοι Τριόπας, Ἐρυσίχθονα δ' ἤλασε κάπρος
Πίνδον ἀν' εὐάγκειαν, ὃ δ' ἐννέα φάεα κεῖται.'
δειλαία φιλότεκνε, τί δ' οὐκ ἐψεύσαο, μᾶτερ;
δαίνυεν εἰλαπίναν τις· 'ἐν ἀλλοτρίοις Ἐρυσίχθων.'
ἄγετό τις νύμφαν· 'Ἐρυσίχθονα δίσκος ἔτυψεν,'

---

57 *εἴσατο* scripsi: *γείνατο* ‖ 60 *ἐξαπίνης* ‖ 61 *ἄλλους* | *ἔασσεν* ‖ 67 *μεγάλῃ* ‖ 70 *Διώνυσσον* ‖ 71 *γὰρ τᾷ*: *γὰρ τῷ* Schneider; transposui | *Διονυσσος* ‖ 72 *μιν* ‖ 74 *μιν* ‖ 75 *οὖν ἠρνήσατο* ‖ 76 *βέβηκε* ‖ 80 *δακρυχέουσα*

ἢ ‘ἔπεσ᾽ ἐξ ἵππων’, ἢ ‘ἐν Ὄθρυϊ ποίμνι᾽ ἀμιθρεῖ’.
ἐνδόμυχος δήπειτα πανάμερος εἰλαπιναστὰς
ἤσθιε μυρία πάντα· κακὰ δ᾽ ἐξάλλετο γαστὴρ
αἰεὶ μᾶλλον ἔδοντι, τὰ δ᾽ ἐς βυθὸν οἷα θαλάσσας
ἀλεμάτως ἀχάριστα κατέρρεεν εἴδατα πάντα.
ὡς δὲ Μίμαντι χιών, ὡς ἀελίῳ ἔνι πλαγγών,
καὶ τούτων † ἔτι μεῖζον, ἐτάκετο μέσφ᾽ ἐπὶ νευράς·
δειλαίῳ ἶνές τε καὶ ὀστέα μῶνον ἔλειφθεν.
κλαῖε μὲν ἁ μάτηρ, βαρὺ δ᾽ ἔστενον αἱ δύ᾽ ἀδελφεαὶ
χὡ μαστὸς τὸν ἔπωνε καὶ αἱ δέκα πολλάκι δῶλαι.
καὶ δ᾽ αὐτὸς Τριόπας πολιαῖς ἐπὶ χεῖρας ἔβαλλε,
τοῖα τὸν οὐκ ἀίοντα Ποτειδάωνα καλιστρέων·
‘ψευδοπάτωρ, ἴδε τόνδε τεοῦ τρίτον, εἴπερ ἐγὼ μὲν
σεῦ τε καὶ Αἰολίδος Κανάκας γένος, αὐτὰρ ἐμεῖο
τοῦτο τὸ δείλαιον γένετο βρέφος· αἴθε γὰρ αὐτὸν
βλητὸν ὑπ᾽ Ἀπόλλωνος ἐμαὶ χέρες ἐκτερέιξαν·
νῦν δὲ κακὰ βούβρωστις ἐν ὀφθαλμοῖσι κάθηται.
ἤ οἱ ἀπόστασον χαλεπὰν νόσον ἠέ νιν αὐτὸς
βόσκε λαβών· ἁμαὶ γὰρ ἀπειρήκαντι τράπεζαι.
χῆραι μὲν μάνδραι, κενεαὶ δέ μοι αὔλιες ἤδη
τετραπόδων, ἤδη μοι ἀπαρνήσαντο μάγειροι,
ἀλλὰ καὶ οὐρῆας μεγαλᾶν ὑπέλυσαν ἁμαξᾶν,
καὶ τὰν βῶν ἔφαγεν, τὰν Ἑστίᾳ ἔτρεφε μάτηρ,
καὶ τὸν ἀεθλοφόρον καὶ τὸν πολεμήιον ἵππον,
καὶ τὰν αἴλουρον, τὰν ἔτρεμε θηρία μικκά.
. . . .
. . . .
μέσφ᾽ ὄκα μὲν Τριόπαο δόμοις ἔνι χρήματα κεῖτο,
μῶνοι ἄρ᾽ οἰκεῖοι θάλαμοι κακὸν ἠπίσταντο.
ἀλλ᾽ ὄκα τὸν βαθὺν οἶκον ἀνεξήραναν ὀδόντες,
καὶ τόχ᾽ ὁ τῶ βασιλῆος ἐνὶ τριόδοισι καθῆστο,
αἰτίζων ἀκόλως τε καὶ ἔκβολα λύματα δαιτός.

86 ἀμιθρεῖ ς et Ruhnken: ἀμι– *A*, ἀμ– *E* ‖ 93 ἔλιφθεν ‖ 94 ἀδελφαί ‖ 97 Ποσειδάωνα ‖ 99 Κανάκης ‖ 103 μιν ‖ 106 μοι scripsi: γάρ ‖ 108 ἔφαγε ‖ post 110 nonnulla deesse vidit Bergk ‖ 111 ὅτε ‖ 113 ὅτε | ἀνεξήραινον: corr. Ernesti ‖ 114 τόθ᾽ ‖ 115 ἀκόλους

Δάματερ, μὴ τῆνος ἐμὶν φίλος, ὅς τοι ἀπεχθής,
εἴη μηδ᾽ ὁμότοιχος· ἐμοὶ κακογείτονες ἐχθροί.
ἄρχετε, παρθενικαί, καὶ ἐπιφθέγξασθε, τεκοῖσαι,
ʽΔάματερ, μέγα χαῖρε, πολύτροφε πουλυμέδιμνε᾽.
χὼς αἱ τὸν κάλαθον λευκότριχες ἵπποι ἄγοντι
τέσσαρες, ὣς ἁμὶν μεγάλα θεὸς εὐρυάνασσα
λευκὸν ἔαρ, λευκὸν δὲ θέρος καὶ χεῖμα φέροισα
ἥξεῖ καὶ φθινόπωρον, ἔτος δ᾽ εἰς ἄλλο φυλαξεῖ.
ὡς δ᾽ ἀπεδίλωτοι καὶ ἀνάμπυκες ἄστυ πατεῦμες,
ὣς πόδας, ὣς κεφαλὰς παναπηρέας ἕξομες αἰεί.
ὡς δ᾽ αἱ λικνοφόροι χρυσῶ πλέα λίκνα φέροντι,
ὣς ἁμὲς τὸν χρυσὸν ἀφειδέα πασαίμεσθα.
μέσφα τὰ τᾶς πόλιος πρυτανήια τὰς ἀτελέστως,
τὰς δὲ τελεσφορέας ποτὶ τὰν θεὸν ἄχρις ὁμαρτεῖν,
αἵτινες ἑξήκοντα κατώτεραι· αἱ δὲ βαρεῖαι,
χἄτις Ἐλειθυίᾳ τείνει χέρα χἄτις ἐν ἄλγει,
ὣς ἅλις, ὡς αὐτᾶν ἱκανὸν γόνυ· ταῖσι δὲ Δηὼ
δωσεῖ πάντ᾽ ἐπίμεστα καὶ ὡς ποτὶ ναὸν ἵκωνται.
χαῖρε, θεά, καὶ τάνδε σάω πόλιν ἔν θ᾽ ὁμονοίᾳ
ἔν τ᾽ εὐηπελίᾳ· φέρε δ᾽ ἀγρόθι νόστιμα πάντα.
φέρβε βόας, φέρε μᾶλα, φέρε στάχυν, οἶσε θερισμόν,
φέρβε καὶ εἰράναν, ἵν᾽ ὃς ἄροσε, τῆνος ἀμάσῃ.
ἵλαθί μοι, τρίλλιστε, μέγα κρείοισα θεάων.

---

118 *ἄρχετε* periit: supplevi. | *τεκοῦσαι* ‖ 120 *χῶσαι*: distinxit Stephanus ‖ 122 *φέρουσα* ‖ 126 *δ᾽* add. Meineke ‖ 129 *τελεσφορίας*: corr. Th. Bentley ‖ 130 *αἵ τε*: corr. Ernesti ‖ 133 *νηόν* ‖ 134 *ἐν δ᾽*: corr. ς ‖ 136 *κεῖνος ἀμάσσει*: corr. Meineke ‖ 138 *κρείουσα*

ΕΠΙΓΡΑΜΜΑΤΑ.

I.

Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω
    τὸν Μυτιληναῖον, παῖδα τὸν Ὑρράδιον·
'ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
    νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ,
ἡ δ' ἑτέρη προβέβηκε· τί λώιον; εἰ δ' ἄγε σύμ μοι
    βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.'
εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας,
    'ἠνίδε, κεῖνοί τοι πᾶν ἐρέουσιν ἔπος.'
οἳ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
    ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
'κείνων ἔρχεο' φησὶ 'μετ' ἴχνια'. χὠ μὲν ἐπέστη
    πλησίον· οἳ δ' ἔλεγον· 'τὴν κατὰ σαυτὸν ἔλα'.
ταῦτ' ἀίων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
    δράξασθαι παίδων κληδόνι συνθέμενος.
τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἰκίον ἤγετο νύμφην,
    οὕτω καὶ σύ, Δίων, τὴν κατὰ σαυτὸν ἔλα.

Diogen. I 79 (inde Anth. Pal. VII 89) 1 ἀνήρετο Diog. || 2 Ὑρραδίου: corr. Schneider || 8 σοι | 14 κληδόνα AP || 15 οἶκον ἐπήγετο AP || 16 γ' ἰὼν AP

II.

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δέ με δάκρυ
    ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν· ἀλλὰ σὺ μέν που,
    ξεῖν' Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή·
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
    ἁρπακτὴς Ἀίδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

Diogen. IX 17 (inde AP VII 80)

IV.

Τίμων, οὐ γὰρ ἔτ' ἐσσί, τί τοι, φάος ἢ σκότος ἐχθρόν;
'τὸ σκότος· ὑμέων γὰρ πλείονες εἰν Ἀίδῃ'.

AP VII 317 2 *ὑμείων*

V.

Κόγχος ἐγώ, Ζεφυρῖτι, πάλαι τέρας· ἀλλὰ σὺ νῦν με,
Κύπρι, Σεληναίης ἄνθεμα πρῶτον ἔχεις,
ναυτίλος ὃς πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται,
τείνας οἰκείων λαῖφος ἀπὸ προτόνων,
εἰ δὲ Γαληναίη, λιπαρὴ θεός, οὖλος ἐρέσσων
ποσσί νιν, ὥστ' ἔργῳ τοὔνομα συμφέρεται,
ἔστ' ἔπεσον παρὰ θῖνας Ἰουλίδας, ὄφρα γένωμαι
σοὶ τὸ περίσκεπτον παίγνιον, Ἀρσινόη,
μηδέ μοι ἐν θαλάμῃσιν ἔθ' ὡς πάρος, εἰμὶ γὰρ ἄπνους,
τίκτηται νοτερῆς ὤεον ἀλκυόνης.
Κλεινίου ἀλλὰ θυγατρὶ δίδου χάριν, οἶδε γὰρ ἐσθλὰ
ῥέζειν καὶ Σμύρνης ἐστὶν ἀπ' Αἰολίδος

Athen. VII 318 1 *παλαίτερος*: corr. Schneider ‖ 3 *ναυτίλον*: corr. Kaibel ‖ 6 *ποσσὶν ἴν'*: distinxit G. Hermann ‖ 10 *τίκτει τ' αἰνοτέρης*: corr. Bentley

VI.

Τοῦ Σαμίου πόνος εἰμὶ δόμῳ ποτὲ θεῖον ἀοιδὸν
δεξαμένου, κλείω δ' Εὔρυτον, ὅσσ' ἔπαθεν,
καὶ ξανθὴν Ἰόλειαν, Ὁμήρειον δὲ καλεῦμαι
γράμμα· Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα.

Strab. XIV 638 Sext. Emp. p. 609 Schol. Dion. Thrac. p. 728 (usque ad *γράμμα*) 1 *Τοῦ Σαμίου* Strab.: *Κρεωφύλου* Sext. schol. | *ἀοιδόν* Sext.: *Ὅμηρον* Strab. schol. ‖ 2 *κλείω* Sext.: *κλαίω* Strab. schol.

VII.

Ἦλθε Θεαίτητος καθαρὴν ὁδόν. εἰ δ' ἐπὶ κισσὸν
τὸν τεὸν οὐχ αὕτη, Βάκχε, κέλευθος ἄγει·
ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
φθέγξονται, κείνου δ' Ἑλλὰς ἀεὶ σοφίην.

AP IX 565 1 *κισσὸν* Plan.: *κισσοῦ* ‖ 4 *σοφίαν*

VIII.

Μικρή τις, Διόνυσε, καλὰ πρήσσοντι ποιητῇ
ῥῆσις· ὁ μὲν ʻνικέω᾿ φησὶ τὸ μακρότατον,
ᾧ δὲ σὺ μὴ πνεύσῃς ἐπιδέξιος, ἤν τις ἔρηται
ʻπῶς ἔβαλες᾿; φησί ʻσκληρὰ τὰ γιγνόμενα᾿.
τῷ μερμηρίξαντι τὰ μὴ ᾿νδικα τοῦτο γένοιτο
τοὔπος· ἐμοὶ δ᾿, ὦναξ, ἡ βραχυσυλλαβίη.

AP IX 566 2 *νικῶ* ‖ 3 *ἐνδέξιος*: corr. Kaibel

IX.

Τῇδε Σάων ὁ Δίκωνος ᾿Ακάνθιος ἱερὸν ὕπνον
κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

AP VII 451 2 *θνήσκειν* Plan.: *θνάσκειν*

X.

Ἢν δίζῃ Τίμαρχον ἐν Ἄιδος, ὄφρα πύθηαι
ἤ τι περὶ ψυχῆς ἢ πάλι πῶς ἔσεαι,
δίζησθαι φυλῆς Πτολεμαίδος υἱέα πατρὸς
Παυσανίου· δήεις δ᾿ αὐτὸν ἐν εὐσεβέων.

AP VII 520 3 *δίζεσθαι*

XI.

Σύντομος ἦν ὁ ξεῖνος, ὃ καὶ στίχος· οὐ μακρὰ λέξω·
ʻΘῆρις ᾿Αρισταίου Κρής.᾿ † ἐπ᾿ ἐμοὶ δολιχός.

AP VII 447 *ὑπ᾿* Plan.

XII.

Κύζικον ἢν ἔλθῃς, ὀλίγος πόνος Ἱππακὸν εὑρεῖν
καὶ Διδύμην· ἀφανὴς οὔ τι γὰρ ἡ γενεή.
καί σφιν ἀνιηρὸν μὲν ἐρεῖς ἔπος, ἔμπα δὲ λέξαι
τοῦθ᾿, ὅτι τὸν κείνων ὧδ᾿ ἐπέχω Κριτίην.

AP VII 521 1 *ἔλθῃς* Plan.: *ἐθέλῃς*

XIII.

Ἦ ῥ᾿ ὑπὸ σοὶ Χαρίδας ἀναπαύεται; ʻεἰ τὸν ᾿Αρίμμα
τοῦ Κυρηναίου παῖδα λέγεις, ὑπ᾿ ἐμοί.᾿

ὦ Χαρίδα, τί τὰ νέρθε; ‘πολὺς σκότος’. αἱ δ’ ἄνοδοι τί;
‘ψεῦδος’. ὁ δὲ Πλούτων; ‘μῦθος’. ἀπωλόμεθα.
‘οὗτος ἐμὸς λόγος ὔμμιν ἀληθινός· εἰ δὲ τὸν ἡδὺν
βούλει, † Πελλαίου βοῦς μέγας εἰν Ἀίδῃ.

AP VII 524

XIV.

Δαίμονα τίς δ’ εὖ οἶδε τὸν Αὔριον; ἡνίκα καὶ σέ,
Χάρμι, τὸν ὀφθαλμοῖς χθιζὸν ἐν ἡμετέροις
τῇ ἑτέρῃ κλαύσαντες ἐθάπτομεν· οὐδὲν ἐκείνου
εἶδε πατὴρ Διοφῶν χρῆμ’ ἀνιηρότερον.

AP VII 519 2 ἡμετέροις Plan.: ἁμ. ‖ 3 τῇ ἑτέρῃ Plan.: τᾷ ἑτέρᾳ

XV.

‘Τιμονόη.’ τίς δ’ ἐσσί; μὰ δαίμονας, οὔ σ’ ἂν ἐπέγνων,
εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
στήλῃ καὶ Μήθυμνα, τεὴ πόλις. ἦ μέγα φημὶ
χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.

AP VII 522

XVI.

Κρηθίδα τὴν πολύμυθον ἐπισταμένην καλὰ παίζειν
δίζηνται Σαμίων πολλάκι θυγατέρες,
ἡδίστην συνέριθον ἀεὶ λάλον· ἡ δ’ ἀποβρίζει
ἐνθάδε τὸν πάσαις ὕπνον ὀφειλόμενον.

AP VII 459 3 ἡδίσταν

XVII.

Ὤφελε μηδ’ ἐγένοντο θοαὶ νέες· οὐ γὰρ ἂν ἡμεῖς
παῖδα Διοκλείδου Σώπολιν ἐστένομεν.
νῦν δ’ ὃ μὲν εἰν ἁλί που φέρεται νέκυς, ἀντὶ δ’ ἐκείνου
οὔνομα καὶ κενεὸν σῆμα παρερχόμεθα.

AP VII 271 4 σᾶμα

XVIII.

Νάξιος οὐκ ἐπὶ γῆς ἔθανεν Λύκος, ἀλλ’ ἐνὶ πόντῳ
ναῦν ἅμα καὶ ψυχὴν εἶδεν ἀπολλυμένην,

ἔμπορος Αἰγίνηθεν ὅτ᾽ ἔπλεε. χὢ μὲν ἐν ὑγρῇ
νεκρός, ἐγὼ δ᾽ ἄλλως οὔνομα τύμβος ἔχων
κηρύσσω πανάληθες ἔπος τόδε ‘φεῦγε θαλάσσῃ
συμμίσγειν ἐρίφων, ναυτίλε, δυομένων’.

AP VII 272 5 *θαλάττῃ*

XIX.

Δωδεκένη τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
ἐνθάδε τὴν πολλὴν ἐλπίδα Νικοτέλη.

AP VII 453

XX.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν, ἠελίου δὲ
δυομένου Βασιλὼ κάτθανε παρθενικὴ
αὐτοχερί· ζώειν γὰρ ἀδελφεὸν ἐν πυρὶ θεῖσα
οὐκ ἔτλη. δίδυμον δ᾽ οἶκος ἐπεῖδε κακὸν
πατρὸς Ἀριστίπποιο, κατήφησεν δὲ Κυρήνη
πᾶσα τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

AP VII 517 1 *ἠελίου* Plan.: *ἠῶος* ‖ 4 *ἐσεῖδε*: corr. Schneider

XXI.

Ὅστις ἐμὸν παρὰ σῆμα φέρεις πόδα, Καλλιμάχου με
ἴσθι Κυρηναίου παῖδά τε καὶ γενετήν.
εἰδείης δ᾽ ἄμφω κεν· ὁ μέν κοτε πατρίδος ὅπλων
ἦρξεν, ὁ δ᾽ ἤεισεν κρέσσονα βασκανίης·
οὐ νέμεσις· Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας
μὴ λοξῷ, πολιοὺς οὐκ ἀπέθεντο φίλους.

* * *

AP VII 525 6 *μὴ λοξῷ* schol. Hesiod. Theog. 82: *ἀχριβίου.* mutilum carmen esse vidit Schneider. sequebatur in libro Callimachi ep. 35

XXII.

Ἀστακίδην τὸν Κρῆτα τὸν αἰπόλον ἥρπασε Νύμφη
ἐξ ὄρεος, καὶ νῦν ἱερὸς Ἀστακίδης.
οὐκέτι Δικταίῃσιν ὑπὸ δρυσίν, οὐκέτι Δάφνιν,
ποιμένες, Ἀστακίδην δ᾽ αἰὲν ἀεισόμεθα.

AP VII 518 3 *οὐκει Δικτ.*: corr. Salmasius

XXIII.

Εἶπας "Ἥλιε χαῖρε" Κλεόμβροτος Ὡμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀΐδην,
ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

AV VII 471 Sextus Emp. p. 609 schol. Dionys. Thrac. p. 725 alii
1 *Ἀμβρ.* Sext. || 2 *Ἀΐδαν* AP || 3 *οὔτι παθὼν* schol. | *θανάτου τέλος* Sext. | *ἢ τό Πλ.* AP || 4 *ἐν τῷ π.* AP

XXIV.

Ἥρως Αἰετίωνος ἐπίσταθμος Ἀμφιπολίτεω
ἵδρυμαι μικρῷ μικρὸς ἐπὶ προθύρῳ
λοξὸν ὄφιν καὶ μοῦνον ἔχων ξίφος· ἀνδρὶ † ιπειωι
θυμωθεὶς πεζὸν κἀμὲ παρῳκίσατο.

AP IX 336 3 *ἀνδρὶ δ' ἐφ' ἱππεῖ* Bentley

XXV.

Ὤμοσε Καλλίγνωτος Ἰωνίδι μήποτ' ἐκείνης
ἕξειν μήτε φίλον κρέσσονα μήτε φίλην.
ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.
νῦν δ' ὃ μὲν ἀρσενικῷ θέρεται πυρί· τῆς δὲ ταλαίνης
νύμφης ὡς Μεγαρέων οὐ λόγος οὐδ' ἀριθμός.

AP V 6

XXVI.

Εἶχον ἀπὸ σμικρῶν ὀλίγον βίον οὔτε τι δεινὸν
ῥέζων οὔτ' ἀδικέων οὐδένα. Γαῖα φίλη,
Μικύλος εἴ τι πονηρὸν ἐπήνεσα, μήτε σὺ κούφη
γίνεο μήθ' ἵλεω δαίμονες οἵ μ' ἔχετε.

AP VII 400 2 *ἀδικῶν* || 3 *Μείκυλος* || 4 *μήτ' ἄλλοι*: correxi

XXVII.

Ἡσιόδου τό τ' ἄεισμα καὶ ὁ τρόπος· οὐ τὸν ἀοιδῶν
ἔσχατον, ἀλλ' ὀκνέω μὴ τὸ μελιχρότατον

τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο· χαίρετε λεπταὶ
ῥήσιες, Ἀρήτου σύμβολον ἀγρυπνίης.

AP IX 507 Vita Arati p. 54 West. 1 τόδ' ἄ.: corr. Blomfield | ἀοιδόν: corr. Scaliger ‖ 4 σύγγονος ἀγρυπνίης vit. σύντονος ἀγρυπνίη AP: corr. Ruhnken

XXVIII.

Ἐχθαίρω τὸ ποίημα τὸ κυκλικόν, οὐδὲ κελεύθῳ
χαίρω τίς πολλοὺς ὧδε καὶ ὧδε φέρει,
μισέω καὶ περίφοιτον ἐρώμενον, οὐδ' ἀπὸ κρήνης
πίνω· σικχαίνω πάντα τὰ δημόσια.
Λυσανίη, σὺ δὲ ναιχὶ καλὸς καλός — ἀλλὰ πρὶν εἰπεῖν
τοῦτο σαφῶς, Ἠχώ φησί τις 'ἄλλος ἔχει'.

AP XII 43 3 μισῶ | οὔτ' ἀπὸ: corr. Meineke

XXIX.

Ἔγχει καὶ πάλιν εἰπὲ 'Διοκλέος'. οὐδ' Ἀχελῷος
κείνου τῶν ἱερῶν αἰσθάνεται κυάθων.
καλὸς ὁ παῖς, Ἀχελῷε, λίην καλός, εἰ δέ τις οὐχὶ
φησίν — ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.

AP XII 51 1 Διοκλέος schol. Theocr. II 147: Διόκλεες

XXX.

Θεσσαλικὲ Κλεόνικε, τάλαν τάλαν, οὐ μὰ τὸν ὀξὺν
ἥλιον, οὐκ ἔγνων· σχέτλιε, ποῦ γέγονας;
ὀστέα σοὶ καὶ μοῦνον ἔτι τρίχες· ἦ ῥά σε δαίμων
οὑμὸς ἔχει, χαλεπῇ δ' ἤντεο θευμορίῃ;
ἔγνων· Εὐξίθεός σε συνήρπασε, καὶ σὺ γὰρ ἐλθὼν
τὸν καλόν, ὦ μοχθήρ', ἔβλεπες ἀμφοτέροις.

AP XII 71 2 ἔγνω: corr. apogr. ‖ 5 με συν. corr. Salmasius

XXXI.

Ὡγρευτής, Ἐπίκυδες, ἐν οὔρεσι πάντα λαγωὸν
διφᾷ καὶ πάσης ἴχνια δορκαλίδος
στείβῃ καὶ νιφετῷ κεχαρημένος, ἢν δέ τις εἴπῃ
'τῆ, τόδε βέβληται θηρίον' οὐκ ἔλαβεν.

χοὐμὸς ἔρως τοιόσδε· τὰ γαρ φεύγοντα διώκειν
οἶδε, τὰ δ' ἐν μέσσῳ κείμενα παρπέταται.

AP XII 102 3 *κεχρημένος*: corr. Bentley

XXXII.

Οἶδ' ὅτι μοι πλούτου κενεαὶ χέρες, ἀλλὰ Μένιππε
μὴ λέγε πρὸς Χαρίτων τοὐμὸν ὄνειρον ἐμοί·
ἀλγέω νὴ Δία παντὸς ἔπος τόδε πικρὸν ἀκούων
καί, φίλ' ἐτῶν, παρὰ σοῦ τοῦτ' ἀνεραστότατον.

AP XII 148 1 *μου*: corr. apogr. || 3 *νὴ Δία* Iacobs: *τὴν διὰ* || 4 *καί φίλε τὸν*: correxi

XXXIII.

Ἄρτεμι, τὶν τόδ' ἄγαλμα Φιληρατὶς εἵσατο τῇδε·
ἀλλὰ σὺ μὲν δέξαι, πότνια, τὴν δὲ σάω.

AP VI 347

XXXIV.

Τίν με, λεοντάγχ' ὦνα συοκτόνε, φήγινον ὄζον
θῆκε 'τίς'; Ἀρχῖνος 'ποῖος'; ὁ Κρὴς 'δέχομαι'.

AP VI 351 *ὦνα* Lobeck: *ωνε*

XXXV.

Βαττιάδεω παρὰ σῆμα φέρεις πόδας εὖ μὲν ἀοιδὴν
εἰδότος, εὖ δ' οἴνῳ καίρια συγγελάσαι.

AP VII 415

XXXVII.

Ὁ Λύκτιος Μενοίτας
τὰ τόξα ταῦτ' ἐπειπὼν
ἔθηκε 'τῆ, κέρας τοι
δίδωμι καὶ φαρέτρην,
Σάραπι· τοὺς δ' ὀιστοὺς
ἔχουσιν Ἑσπερῖται'.

AP XIII 7

XXXVIII.

Τὰ δῶρα τἀφροδίτῃ
Σῖμον ἡ περίφοιτος, εἰκόν' αὑτῆς,
ἔθηκε, τήν τε μίτρην
ἣ μαστοὺς ἐφίλησε † τόν τε πάνα
† καὶ τοὺς αὐτοὺς ὁρῇ τάλαινα θάρσους.

AP XIII 24 1 *τῇ ἀφρ.* ‖ 2 *σειμονη*: distinxi | *αὐτη*: corr. Salmasius

XXXIX.

Δήμητρι τῇ Πυλαίᾳ,
τῇ τοῦτον οὐκ Πελασγῶν
Ἀκρίσιος τὸν νηὸν ἐδείματο, ταῦθ' ὁ Ναυκρατίτης
καὶ τῇ κάτω θυγατρὶ
τὰ δῶρα Τιμόδημος
εἵσατο τῶν κερδέων δεκατεύματα· καὶ γὰρ εὔξαθ' οὕτως.

AP XIII 25 2 ita Hephaest.: *τοῦτον οὐκεπελασγῶν* AP

XL.

Ἱερίη Δήμητρος ἐγώ ποτε καὶ πάλιν Καβείρων,
ὦνερ, καὶ μετέπειτα Δινδυμήνης
ἡ γρῆυς γενόμην, ἡ νῦν κόνις, ἡ Νο .....
πολλῶν προστασίη νέων γυναικῶν.
καί μοι τέκν' ἐγένοντο δύ' ἄρσενα, κἀπέμυσ' ἐκείνων
εὐγήρως ἐνὶ χερσίν· ἕρπε χαίρων.

AP VII 728 1 *ἱερέη*: corr. Dindorf ‖ 5 *κἠπέμυσ'*

XLI.

Ἥμισύ μευ ψυχῆς ἔτι τὸ πνέον, ἥμισυ δ' οὐκ οἶδ'
εἴτ' Ἔρος εἴτ' Ἀίδης ἥρπασε, πλὴν ἀφανές.
ἦ ῥά τιν' ἐς παίδων πάλιν ᾤχετο; καὶ μὲν ἀπεῖπον
πολλάκι 'τὴν δρῆστιν μὴ ὑποδέχεσθε, νέοι'.
† ουκισυνιφησον· ἐκεῖσε γὰρ ἡ λιθόλευστος
κείνη καὶ δύσερως οἶδ' ὅτι που στρέφεται.

AP XII 73 4 *μὴ ὑπέχεσθε*: corr. Bentley et Hecker 5 ‖ *οὖ κίε* (potius *καὶ*) *νῦν δίφησον* Iacobs

XLII.

Εἰ μὲν ἑκών, Ἀρχῖν', ἐπεκώμασα, μυρία μέμφου,
εἰ δ' ἄκων ἥκω, τὴν προπέτειαν ἔα.
Ἄκρητος καὶ Ἔρως μ' ἠνάγκασαν, ὧν ὃ μὲν αὐτῶν
εἷλκεν, ὃ δ' οὐκ εἴα τὴν προπέτειαν ἐᾶν.
ἐλθὼν δ' οὐκ ἐβόησα, τίς ἢ τίνος, ἀλλ' ἐφίλησα
τὴν φλιήν· εἰ τοῦτ' ἔστ' ἀδίκημ' ἀδικέω.

AP XII 118 Cram. An. Par. IV 384 2 ἔα Cram. et paries Esquilinus (Kaibel Epigr. p. 502): ὅρα AP ‖ 4 . . . ετηανεαν paries: τὴν βίαν ὅσσην ὅρα Cram.: σώφρονα θυμὸν ἔχειν AP ‖ 6 φλιήν Plutarchus de coh. ira 5: φιλίην Cram. ιαρήν AP

XLIII.

Ἕλκος ἔχων ὁ ξεῖνος ἐλάνθανεν· ὡς ἀνιηρὸν
πνεῦμα διὰ στηθέων (εἶδες;) ἀνηγάγετο,
τὸ τρίτον ἡνίκ' ἔπινε, τὰ δὲ ῥόδα φυλλοβολεῦντα
τὠνδρὸς ἀπὸ στεφάνων πάντ' ἐγένοντο χαμαί·
ὤπτηται μέγα δή τι· μὰ δαίμονας, οὐκ ἀπὸ ῥυσμοῦ
εἰκάζω, φωρὸς δ' ἴχνια φὼρ ἔμαθον.

AP XII 134 2 ἦγκ ἔπινε: corr. Scaliger | ἀπὸ στεφάνων Athen. XV 669: ἀπὸ στομάτων ‖ 5 ὤπτημαι μεγαλητί: corr. Bentley

XLIV.

Ἔστι τι ναὶ τὸν Πᾶνα κεκρυμμένον, ἔστι τι ταύτῃ
ναὶ μὰ Διώνυσον πῦρ ὑπὸ τῇ σποδιῇ·
οὐ θαρσέω· μὴ δή με περίπλεκε. πολλάκι λήθει
τοῖχον ὑποτρώγων ἡσύχιος ποταμός·
τῷ καὶ νῦν δείδοικα, Μενέξενε, μή με παρεισδὺς
οὗτος † όσειγαρνης εἰς τὸν ἔρωτα βάλῃ.

AP XII 139 6 ὁ σιγέρπης Bentley

XLV.

Ληφθήσει † περὶ φεῦγε, Μενέκρατες' εἶπα Πανήμου
εἰκάδι, καὶ Λῴου τῇ τίνι; τῇ δεκάτῃ

ἦλθεν ὁ βοῦς ὑπ' ἄροτρον ἑκούσιος εὖ γ', ἐμὸς Ἑρμῆς,
εὖ γ', ἐμός· οὐ παρὰ τὰς εἴκοσι μεμφόμεθα.

AP XII 149 3 Ἑρμᾶς

XLVI.

Ὡς ἀγαθὰν Πολύφαμος ἀνεύρετο τὰν ἐπαοιδὰν
τὠραμένῳ· ναὶ Γᾶν, οὐκ ἀμαθὴς ὁ Κύκλωψ·
αἱ Μοῦσαι τὸν ἔρωτα κατισχναίνοντι, Φίλιππε·
ἦ πανακὲς πάντων φάρμακον ἁ σοφία.
τοῦτο, δοκέω, χὰ λιμὸς ἔχει μόνον ἐς τὰ πονηρὰ
τὠγαθόν· ἐκκόπτει τὰν φιλόπαιδα νόσον.
ἔσθ' ἁμὶν καὶ ἑκάστοτ' ἀφειδέα ποττὸν Ἔρωτα
τοῦτ' εἶπαι 'κείρευ τὰ πτερά, παιδάριον,
οὐδ' ὅσον ἀττάραγόν τυ δεδοίκαμες'· αἱ γὰρ ἐπῳδαὶ
οἴκοι τῶ χαλεπῶ τρώματος ἀμφότεραι.

AP XII 150 1 ἀνεύρατο ‖ 2 τώρραμενων αιγαν: distinxerunt Eldik et Hecker | οὐ καθημας: corr. Eldik ‖ 4 πανακές Clemens strom. v 687: πάνες ‖ 5 τοῦ δοκέω: corr. Salmasius ‖ 7 χὰκαστάς ἀφειδέα: correxi | πρὸς τὸν ‖ 8 τουτιπαι: corr. Kaibel ‖ 9 τυ Bentley: τι AP, τοι E. Fl. s. v. ἀττάρ. ‖ 10 οἴκω | τραύματος

XLVII.

Τὴν ἁλίην Εὔδημος, ἀφ' ἧς αλα λιτὸν ἐπέσθων
χειμῶνας μεγάλων ἐξέφυγεν δανέων,
θῆκε θεοῖς Σαμόθρηξι λέγων ὅτι τήνδε κατ' εὐχὴν,
ὦ μεγάλοι, σωθεὶς ἐξ ἁλὸς ὧδ' ἔθετο.

AP VI 301 ἀφ' Blomfield: ἐφ' ‖ 3 Σαμόθραξι ‖ 4 ὦ λαοί: correxi

XLVIII.

Εὐμαθίην ᾐτεῖτο διδοὺς ἐμὲ Σῖμος ὁ Μίκκου
ταῖς Μούσαις· αἱ δὲ Γλαῦκος ὅκως ἔδοσαν
ἀντ' ὀλίγου μέγα δῶρον. ἐγὼ δ' ἀνὰ τῇδε κεχηνως
κεῖμαι τοῦ Σαμίου διπλόον ὁ τραγικὸς
παιδαρίων Διόνυσος ἐπήκοος· οἱ δὲ λέγουσιν
'ἱερὸς ὁ πλόκαμος' τοὐμὸν ὄνειρον ἐμοί.

AP VI 310 2 γλεῦκος: corr. Bentley ‖ 3 τήνδε: corr. Bergk ‖ 6 ὄνειαρ: corr. Meineke

XLIX.

Τῆς Ἀγοράνακτός με λέγε, ξένε, κωμικὸν ὄντως
ἀγκεῖσθαι νίκης μάρτυρα τοῦ Ῥοδίου
Πάμφιλον, εὖ μὲν ἔρωτι δεδαγμένον, ἥμισυ δ' ὀπτῇ
ἰσχάδι καὶ λύχνοις Ἴσιδος εἰδόμενον.

AP VI 311 *εὖ μὲν* Meineke: *οὐκ ἐν* | *ὄπται*: corr. Meineke

L.

Τὴν Φρυγίην Αἴσχρην, ἀγαθὸν γάλα, πᾶσιν ἐν ἐσθλοῖς
Μίκκος καὶ ζωὴν οὖσαν ἐγηροκόμει
καὶ φθιμένην ἀνέθηκεν, ἐπεσσομένοισιν ὁρᾶσθαι,
ἡ γρῆυς μαστῶν ὡς ἀπέχει χάριτας.

AP VII 458

LI.

Τέσσαρες αἱ Χάριτες, ποτὶ γὰρ μία ταῖς τρισὶ κείναις
ἄρτι ποτεπλάσθη κἤτι μύροισι νοτεῖ.
εὐαίων ἐν πᾶσιν ἀρίζαλος Βερενίκα,
ἇς ἄτερ οὐδ' αὐταὶ ταὶ Χάριτες Χάριτες.

AP V 146 3 *ἀρίζηλος*

LII.

Τὸν τὸ καλὸν μελανεῦντα Θεόκριτον, εἰ μὲν ἔμ' ἔχθει
τετράκι μισοίης, εἰ δὲ φιλεῖ, φιλέοις·
ναιχὶ πρὸς εὐχαίτεω Γανυμήδεος, οὐράνιε Ζεῦ·
καὶ σύ ποτ' ἠράσθης — οὐκέτι μακρὰ λέγω.

AP XII 230 *ὀχθεῖ*: corr. apogr. ‖ 4 *σὺ* Bentley: *ἃ*

LIII.

Καὶ πάλιν, Εἰλείθυια, Λυκαινίδος ἐλθὲ καλεύσης
εὔλοχος ὠδίνων ὧδε σὺν εὐτοκίῃ,
ἧς τόδε νῦν μέν, ἄνασσα, κόρης ὕπερ, ἀντὶ δὲ παιδὸς
ὕστερον εὐώδης ἄλλο τι νηὸς ἔχοι.

AP VI 146 et post 274 2 *εὐτυχίῃ* 274 ‖ 3 *ὡς τοι* 146, *ἃς τόδε* 274: corr. Iacobs

LIV.

Τὸ χρέος ὡς ἀπέχεις, Ἀσκλήπιε, τὸ πρὸ γυναικὸς
Δημοδίκης Ἀκέσων ὤφελεν εὐξάμενος

γιγνώσκειν, ἢν δ' † ἆρα λάθῃ καί μιν ἀπαιτῇς,
φησὶ παρέξεσθαι μαρτυρίην ὁ πίναξ.

AP VI 147 *πρὸ* apogr.: *πρὸς*, item Suid. s. v. *ἀπέχω*

LV.

Τῷ με Κανωπίτῃ Καλλίστιον εἴκοσι μύξαις
πλούσιον ἡ Κριτίου λύχνον ἔθηκε θεῷ
εὐξαμένη περὶ παιδὸς Ἀπελλίδος· ἐς δ' ἐμὰ φέγγη
ἀθρήσας φήσεις "Ἕσπερε, πῶς ἔπεσες".

AP VI 148 1 *Κανωπίτᾳ* ‖ 3 *εὐξαμένα*

LVI.

Φησὶν ὅ με στήσας Εὐαίνετος (οὐ γὰρ ἔγωγε
γιγνώσκω) νίκης ἀντί με τῆς ἰδίης
ἀγκεῖσθαι χάλκειον ἀλέκτορα Τυνδαρίδῃσι·
πιστεύω Φαίδρου παιδὶ Φιλοξενίδεω.

AP VI 149

LVII.

Ἰναχίης ἕστηκεν ἐν Ἴσιδος ἡ Θάλεω παῖς
Αἰσχυλὶς Εἰρήνης μητρὸς ὑποσχεσίῃ.

AP VI 150

LVIII.

Τίς, ξένος ὦ ναυηγέ; Λεόντιχος ἐνθάδε νεκρὸν
εὗρέ σ' ἐπ' αἰγιαλοῦ, χῶσε δὲ τῷδε τάφῳ
δακρύσας ἐπίκηρον ἑὸν βίον· οὐδὲ γὰρ αὐτὸς
ἥσυχον, αἰθυίῃ δ' ἶσα θαλασσοπορεῖ.

AP VII 277 2 *εὗρεν*: correxi | *αἰγιαλοὺς*: corr. Hecker

LIX.

Εὐδαίμων ὅτι τἄλλα μανεὶς ὡρχαῖος Ὀρέστας,
Λεύκαρε, τὰν ἁμὰν οὐκ ἐμάνη μανίαν
οὐδ' ἔλαβ' ἐξέτασιν τῶ Φωκέος ἅτις ἐλέγχει
τὸν φίλον, ἀλλ' αἰχμᾶεν δρᾶμ' ἐδίκαξε μόνον·

ἢ τάχα κα τὸν ἑταῖρον ἀπώλεσε τοῦτο ποήσας —
κἠγὼ τὼς πολλὼς οὐκέτ' ἔχω Πυλάδας.

AP XI 362 2 *Λευκαρε τανμαν*: corr. Schneider | *μανίην* ‖ 4 *ἄλλαι χ' ἕν*: corr. Schneider | *ἐδίδαξε*: corr. Emperius ‖ 5 *κα* Meineke: *καὶ* | *τοὺς πολλούς*

LX.

Οἵτινες Ἀλείοιο παρέρπετε σῆμα Κίμωνος,
ἴστε τὸν Ἱππαίου παῖδα παρερχόμενοι.

AP VII 523 *ἁλίοιο*: corr. Salmasius

LXI.

Αἴνιε, καὶ σὺ γὰρ ὧδε, Μενέκρατες, οὐκ ἐπὶ πουλὺ
ἦσθα· τί σέ, ξείνων λῷστε, κατειργάσατο;
ἦ ῥα τὸ καὶ Κένταυρον; ὅ μοι πεπρωμένος ὕπνος
ἦλθεν, ὁ δὲ τλήμων οἶνος ἔχει πρόφασιν.

AP VII 725 1 *οὐκέτι πουλύς*: corr. Zedel ‖ 2 *ὥστε*: corr. Zedel

LXII.

Κυνθιάδες, θαρσεῖτε, τὰ γὰρ τοῦ Κρητὸς Ἐχέμμα
ἄγκειτ' Ὀρτυγίῃ τόξα παρ' Ἀρτέμιδι,
οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα· νῦν δὲ πέπανται,
αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.

AP VI 121 2 *ἄγκειτ'* scripsi: *κεῖται ἐν* ‖ 3 *πέπαυται*

LXIII.

Οὕτως ὑπνώσαις, Κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις.
οὕτως ὑπνώσαις, ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
κοιμίζεις, ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας.
γείτονες οἰκτείρουσι, σὺ δ' οὐδ' ὄναρ. ἡ πολιὴ δὲ
αὐτίκ' ἀναμνήσει ταῦτά σε πάντα κόμη.

AP V 23

Lipsiae, typis I. B Hirschfeldi.

B. Lateinische Schriftsteller.

	M. Pf.
Caesar. Von Fr. Kraner. De bello Gallico. 12. Aufl. Von W. Dittenberger	2.25
— De bello civili. 8. Aufl. Von Fr. Hofmann	2.25
Chrestomathia Pliniana. Von L. Urlichs	2.70
Cicero, Brutus. Von O. Jahn u. A. Eberhard. 4. Aufl.	1.80
— Orator. Von O. Jahn. 3. Aufl.	1.50
— De oratore. Von G. Sorof. 1. Bd.: 1 Buch 2. Aufl. M. 1.80. — 2. Bd.: 2. Buch M. 1.80. — 3. Bd.: 3. Buch	1.80
— Cato maior. Von J. Sommerbrodt. 9. Aufl.	—.75
— Laelius. Von C. W. Nauck. 8. Aufl.	—.75
— Tusculan. Disput. Von G. Tischer u. G. Sorof. I. Bd. Buch 1–2. 7. Aufl. M. 1.20. II. Bd. Buch 3—5. 7. Aufl.	1.50
— De natura deorum. Von G. F. Schoemann. 4. Aufl.	2.40
— De officiis. Von O. Heine. 5. Aufl.	2.25
Ciceros ausgewählte Briefe. Von Fr. Hofmann u. G. Andresen. 1. Bd. 4. Aufl. M. 2.25. — 2. Bd.	2.25
— ausgewählte Reden. Von K. Halm. 1. Bd.: für Sex. Roscius und für das Imperium des Cn. Pompeius. 9. Aufl.	1.20
— 2. Bd.: gegen Q. Caecilius und gegen Verres IV und V. 8. Aufl.	2.25
— 3. Bd.: gegen Catilina und für Archias. 11. Aufl.	1.20
— 4. Bd.: für Publius Sestius. 5. Aufl.	1.20
— 5. Bd.: für Milo, für Ligarius und für Deiotarus. 8. Aufl.	1.20
— 6. Bd.: 1. u. 2. Philippische Rede. 6. Aufl.	1.20
— 7. Bd.: für L. Murena und für P. Sulla. 3. Aufl.	1.20
Cornelius Nepos. Von K. Nipperdey und B. Lupus. 8. Aufl.	1.20
Livius. Von W. Weissenborn u. H. J. Müller. 1. Bd. 1. Heft: Buch 1. 7. Aufl. M. 2.10. 1. Bd. 2. Heft: Buch 2. 7. Aufl. M. 1.20. — 2. Bd. 1. Heft: Buch 3. 5. Aufl. M. 1.50. 2. Bd. 2. Heft: Buch 4-5. 5. Aufl.	2.40
— 3. Bd. 1. Heft: Buch 6-8. 4. Aufl. M. 2.40. 3. Bd. 2. Heft: Buch 9-10. 4. Aufl. M. 1.80. — 4. Bd. 1. Heft: Buch 21. 7. Aufl.	1.50
4. Bd. 2. Heft: Buch 22. 7. Aufl. M. 1.20. 4. Bd. 3. Heft: Buch 23 im Druck. — 5. Bd. 1. Heft: Buch 24-25. 4. Aufl. M. 1.80. 5. Bd. 2. Heft: Buch 26. 4. Aufl. M. 1.20. — 6. Bd.: 1. Heft: Buch 27-28. 3. Aufl. M. 2.40. 6. Bd. 2. Heft: Buch 29-30. 3. Aufl. M. 2.10. — 7. Bd.: Buch 31-34. 2. Aufl. M. 2.40. — 8. Bd.: Buch 35-38. 2. Aufl.	2.70
— 9. Bd. 1. Heft: Buch 39-40. 2. Aufl. M. 2.25. 9. Bd. 2. Heft: Buch 41-42. 2. Aufl. M. 1.80. — 10. Bd. 1. Heft: Buch 43-44. 2. Aufl.	1.80
10. Bd. 2. Heft: Buch 45 u. Fragmente. 2. Aufl.	2.10
Ovids Metamorphosen. Von M. Haupt u. O. Korn. 1. Bd. Buch 1-7. 6. Aufl. M. 2.25. — 2. Bd. Buch 8-15. 2. Aufl.	2.40
Phaedrus. Von F. E. Raschig und R. Richter. 3. Aufl.	—.75
Plautus, ausgewählte Komödien. Von A. O. F. Lorenz. 2. Bd.: Mostellaria fehlt. — 3. Bd.: Miles gloriosus	fehlt.
4. Bd.: Pseudolus	2.70
Quintiliani liber Xus. Von E. Bonnell u. F. Meister. 5. Aufl.	—.75
Sallustius. Von R. Jacobs und H. Wirz. 8. Aufl.	1.80
Tacitus. Von K. Nipperdey und G. Andresen. 1. Bd.: Annales Buch 1-6. 7. Aufl. M. 3. — 2. Bd.: Annales Buch 11-16. 4. Aufl.	2.40
Terentius Comœdien. Von A. Spengel. 1. Bd.: Andria	1.80
— — 2. Bd.: Adelphoe	1.50
Vergils Gedichte. Von Th. Ladewig und C. Schaper. 1. Bd.: Bucolica u. Georgica. 6. Aufl.	1.80
2. Bd.: Aeneide. Buch 1-6. 9. Aufl.	1.80
3. Bd.: Aeneide. Buch 7-12. 7. Aufl.	2.25

Cicero, De finibus. Von D. Boeckel. 1. Bd. Buch 1 u. 2.	1.20
Elegiker, Römische. Eine Auswahl aus Catull, Tibull, Properz. Von K. P. Schulze	1.80
Horatius Flaccus. Von H. Schütz. I. Oden und Epoden. 2. Aufl.	3.—
— — — II. Satiren	2.70

Aeneae commentarius Poliorceticus. Recensuit R. Hercher 1.20

Aeschinis orationes. Recensuit A. Weidner 2.25

Aeschyli tragoediae. Edidit A. Kirchhoff 2.70

Apollodori bibliotheca. Ex recognitione R. Hercheri 2.40

Arriani Anabasis Alexandri. Edidit C. Sintenis 1.50

Babrii fabulae. Ex recensione Alfredi Eberhard 1.50

Bionis et Moschi carmina. Recensuit Godofr. Hermannus 1.50

Callimachi hymni et epigrammata. U. de Wilamowitz-Moellendorff recognovit —.75

Euripidis fabulae. Recognovit Ad. Kirchhoff. vol. I. II. à M. 1.50. — vol. III. 1.[illegible]

Hesiodi quae feruntur carminum reliquiae. Ed. G. F. Schoemann . . . 1.50

Homeri Odyssea. Edidit A. Nauck. Pars I. II. . . . . à 1.80

— **Ilias.** Edidit A. Nauck. Pars I. II. . . . . à 2.25

Lycurgi oratio in Leocratem. Edidit Th. Thalheim . . . . —.75

Pindari carmina. Edidit Tycho Mommsen 1.20

Plotini Enneades rec. H. F. Mueller. Antecedunt Porphyrius, Eunapius, Suidas, Eudocia de vita Plotini. vol. I. M. 5.40. — vol. II. . 9.—

Plutarchi vitae. Aristides et Cat. maior. Ed. R. Hercher . . . . —.60

— — Themistocles et Pericles. Edidit C. Sintenis . . . . —.60

— — Agis et Cleomenes. Tiberius et Caius Gracchus. Ed. C. Sintenis . . . —.60

Polybius. Edidit F. Hultsch. vol. I. II. III. à 3 M., vol. IV. . . . 4.50

Sophoclis tragoediae. Edidit A. Nauck 2.10

Daraus jedes Stück einzeln . . . . à —.30

Xenophontis opera. Edidit C. Schenkl. vol. I. M. 1.50 vol. II. 2.25

— de reditibus libellus. Recensuit A. Zurborg 1.50

Asconii Pediani orationum Ciceronis quinque enarratio. Recensuerunt A. Kiessling et R. Schöll 3.60

Ciceronis orationes selectae XVIII. Ex rec. C. Halmii. vol. I. II. . . . à —.90

Collectio librorum iuris anteiustiniani in usum scholarum ediderunt P. Krueger, Th. Mommsen, G. Studemund. tomus I. Gai institutiones ad codicis Veronensis apographum Studemundianum in usum scholarum ediderunt P. Krueger et G. Studemund. Inest epistula critica Theodori Mommsen 2.70

— tomus II. Ulpiani liber singularis regularum, Pauli libri quinque sententiarum, fragmenta minora saeculorum P. Chr. N. secundi et tertii recensuit Paulus Krueger 2.40

Cornelius Nepos a C. Nipperdeio recognitus . . . . —.60

Curtius Rufus. E. Hedicke recensuit 1.50

Eutropi Breviarium ab urbe condita. Ed. G. Hartel . . . . —.60

— — — — Recensuit H. Droysen . . . . —.90

Fragmenta, iuris anteiustiniani, quae dicuntur Vaticana. Post Ang. Maium et Aug. Bethmann-Hollweg recognovit Th. Mommsen 1.80

Iustiniani institutiones. Recensuit P. Krueger 1.20

Livi, T., ab urbe condita libri. Rec. H. J. Mueller. Pars I. libros I. II continens —.75

Pars II. libros III. IIII continens. 75 Pf. Pars IIII. libros XXI. XXII. continens —.75

Pars VI. libros XXV. XXVI continens . . . . —.75

P. Ovidius Naso. Recensuit O. Korn. Tomus II. Metamorphoseon libri XV. 2.40

A. Persii Flacci, D. Iunii Iuvenalis, Sulpiciae saturae. Recogn. O. Jahn. 1.20

Petronii satirae et liber Priapeorum. Tertium edidit Fr. Buecheler . . 3.—

Phaedri fabulae. Fr. Eyssenhardt recognovit . . . . —.60

Plinii, C. Secundi, naturalis historia. D. Detlefsen rec. vol. I 1.80

vol. II. III. IV. V. à M. 2.25. vol. VI . . . . 4.—

Publilii Syri Sententiae. Recensuit A. Spengel . . . . —.90

Sallustii, C. Crispi, Catilina Iugurtha historiarum reliquiae potiores incerti rhetoris suasoriae ad Caesarem senem de re publica. H. Jordan iterum recognovit. Accedunt incerti rhetoris invectivae Tullii et Sallustii personis tributae 1.50

Senecae, L. Annaei, libri de beneficiis et de clementia. Ad codicum Nazarianum recensuit M. C. Gertz 4.50

— — tragoediae. Recensuit F. Leo. Vol. I.: observationes criticas continens 3.—

— — — Vol. II: Senecae tragoedias et Octaviam continens . . . . . . 6.—

Tacitus, C., a C. Nipperdeio rec. Pars I. II. à 90 Pf. Pars III. IV à 1.50

Valeri Flacci Argonauticon libri VIII. Ed. C. Schenkl 1.80

Vergili, P. Maronis, opera. Edidit Th. Ladewig 1.20

Aeneae commentarius Poliorceticus. Recensuit R. Hercher 1.20
Aeschinis orationes. Recensuit A. Weidner 2.25
Aeschyli tragoediae. Edidit A. Kirchhoff 2.70
Apollodori bibliotheca. Ex recognitione R. Hercheri 2.40
Arriani Anabasis Alexandri. Edidit C. Sintenis 1.50
Babrii fabulae. Ex recensione Alfredi Eberhard 1.50
Bionis et Moschi carmina. Recensuit Godofr. Hermannus 1.50
Callimachi hymni et epigrammata. U. de Wilamowitz-Moellendorff recognovit —.75
Euripidis fabulae. Recognovit Ad. Kirchhoff. vol. I. II. à M. 1.50. — vol. III 1.80
Hesiodi quae feruntur carminum reliquiae. Ed. G. F. Schoemann . . . 1.50
Homeri Odyssea. Edidit A. Nauck. Pars I. II. . . . . à 1.80
— Ilias. Edidit A. Nauck. Pars I. II. . . . . à 2.25
Lycurgi oratio in Leocratem. Edidit Th. Thalheim . . . . —.75
Pindari carmina. Edidit Tycho Mommsen 1.20
Plotini Enneades rec. H. F. Mueller. Antecedunt Porphyrius, Eunapius, Suidas, Eudocia de vita Plotini. vol. I. M. 5.40. — vol. II. . 9.—
Plutarchi vitae. Aristides et Cat. maior. Ed. R. Hercher . . . . —.60
— — Themistocles et Pericles. Edidit C. Sintenis . . . . —.60
— — Agis et Cleomenes. Tiberius et Caius Gracchus. Ed. C. Sintenis . . . —.60
Polybius. Edidit F. Hultsch. vol. I. II. III. à 3 M., vol. IV. . . . 4.50
Sophoclis tragoediae. Edidit A. Nauck 2.10
Daraus jedes Stück einzeln . . . . à —.30
Xenophontis opera. Edidit C. Schenkl. vol. I. M. 1.50 vol. II. 2.25
— de reditibus libellus. Recensuit A. Zurborg 1.50
Asconii Pediani orationum Ciceronis quinque enarratio. Recensuerunt A. Kiessling et R. Schöll 3.60
Ciceronis orationes selectae XVIII. Ex rec. C. Halmii. vol. I. II. . . . à —.90
Collectio librorum iuris anteiustiniani in usum scholarum ediderunt P. Krueger, Th. Mommsen, G. Studemund. tomus I Gai institutiones ad codicis Veronensis apographum Studemundianum in usum scholarum ediderunt P. Krueger et G. Studemund. Inest epistula critica Theodori Mommsen 2.70
— tomus II. Ulpiani liber singularis regularum, Pauli libri quinque sententiarum, fragmenta minora saeculorum P. Chr. N. secundi et tertii recensuit Paulus Krueger 2.40
Cornelius Nepos a C. Nipperdeio recognitus . . . . —.60
Curtius Rufus. E. Hedicke recensuit 1.50
Eutropi Breviarium ab urbe condita. Ed. G. Hartel . . . . —.60
— — — — Recensuit H. Droysen . . . . —.90
Fragmenta, iuris anteiustiniani, quae dicuntur Vaticana. Post Ang. Maium et Aug. Bethmann-Hollweg recognovit Th. Mommsen 1.80
Iustiniani institutiones. Recensuit P. Krueger 1.20
Livi, T., ab urbe condita libri. Rec. H. J. Mueller. Pars I. libros I. II continens —.75
Pars II. libros III. IIII continens. 75 Pf. Pars IIII. libros XXI. XXII. continens —.75
Pars VI. libros XXV. XXVI continens . . . . —.75
P. Ovidius Naso. Recensuit O. Korn. Tomus II. Metamorphoseon libri XV. 2.40
A. Persii Flacci, D. Iunii Iuvenalis, Sulpiciae saturae. Recogn. O. Jahn. 1.20
Petronii satirae et liber Priapeorum. Tertium edidit Fr. Buecheler . . 3.—
Phaedri fabulae. Fr. Eyssenhardt recognovit . . . . —.60
Plinii, C. Secundi, naturalis historia. D. Detlefsen rec. vol. I 1.80
vol. II. III. IV. V. à M. 2.25. vol. VI . . . . 4.—
Publilii Syri Sententiae. Recensuit A. Spengel . . . . —.90
Sallustii, C. Crispi, Catilina Iugurtha historiarum reliquiae potiores incerti rhetoris suasoriae ad Caesarem senem de re publica. H. Jordan iterum recognovit. Accedunt incerti rhetoris invectivae Tullii et Sallustii personis tributae 1.50
Senecae, L. Annaei, libri de beneficiis et de clementia. Ad codicum Nazarianum recensuit M. C. Gertz 4.50
— — tragoediae. Recensuit F. Leo. Vol. I.: observationes criticas continens 3.—
— — — Vol. II: Senecae tragoedias et Octaviam continens . . . . . 6.—
Tacitus, C., a C. Nipperdeio rec. Pars I. II. à 90 Pf. Pars III. IV à 1.50
Valeri Flacci Argonauticon libri VIII. Ed. C. Schenkl 1.80
Vergili, P. Maronis, opera. Edidit Th. Ladewig 1.20